Ἐπίσης εἰς πλείστην ἡμᾶς ἀπορίαν ἐμβάλλουσι περὶ τῆς ὄντως διανοίας αὐτῶν καὶ οἱ δύο ἢ τρεῖς ἑπόμενοι στίχοι (14-16): δ] μὲν ἕτερος τοῖς δ]ιώκουσιν, ὁ δὲ ἕτερος] τοῖ[ς φ]εύγου[σ]ιν. Ἀλλὰ περὶ κάδων δύο (Bl.) ἆρά γε πρόκειται ἢ μᾶλλον περὶ ἄλλου τινός; Ἔπειτα, ἀφ' οὗ καὶ οἱ δικασταὶ ὡσαύτως τὸ ἴσον ὕδωρ ἐλάμβανον, δὲν ὠφείλομεν ἆρά γε ν' ἀναμένωμεν οὐχὶ δύο, ἀλλὰ μᾶλλον τρεῖς κάδους;

δ' Στίχ. 17-22. Ἀκόλουθοι ὄντες οἷς ἐν τῇ πραγματείᾳ περὶ ἀγώνων ἀτιμήτων καὶ τιμητῶν κατὰ διέξοδον διελάβομεν, ἐνταῦθα σχεδὸν μετὰ βεβαιότητος ἀποφαινόμεθα ὅτι ὁ λόγος ἦν περὶ τῶν τιμητῶν ἀγώνων, ὡς ἄλλως ἐμφαίνουσι καὶ τὰ συμφραζόμενα· διὰ δὲ ταῦτα καὶ συμπληροῦμεν ὡς ἀνωτέρω (2). Μόνον περὶ τῆς ἀκριβείας τοῦ ἀριθμοῦ $\overline{\Gamma}$ (στίχ. 19) σφόδρ' ἀμφιβάλλομεν, διότι κατὰ τὰ συμπεράσματα εἰς ἃ ἤδη κατελήξαμεν καὶ ἃ δικαιολογοῦμεν ἐν τῇ πραγματείᾳ, ἐνταῦθα περὶ τιμητῶν ἀγώνων ὄντος τοῦ λόγου, ὠφείλομεν ν' ἀναμένωμεν ἢ $\overline{B}$ ἢ $\overline{\Delta}$, ἵνα ὁ νοῦς ᾖ ὅτι ἐπὶ τῶν τιμητῶν ἀγώνων ἡ ἡμέρα διαιρεῖται εἰς μέρη δύο ἢ τέσσαρα, ὧν τὸ ἥμισυ (1/2 ἢ

(1) Ἴσως: μὴ λαμβάνον]τε[ς] γὰρ ἔσπευδον [ἂν ...

(2) Ἐν στίχ. 21 ἐπειδή, καθ' ἡμᾶς, περὶ τῶν τιμητῶν μόνον ἀγώνων πρόκειται, γράφομεν καὶ ἀντὶ τοῦ Ḣ οὐ κεῖται ἐν τοῖς νό]μοις, κελεύσει τοῦ σοφωτάτου Βλασσίου, ᾧ εὐλαβῶς ἤδη ὑπεβάλομεν τήνδε τὴν εἰκασίαν.

$^2/_4$), τὸ ἥμισυ δῆλον ὅτι τῆς ὅλης ἡμέρας, τοῖς δικασταῖς δίδοται(1).

Ἐν στίχ. 18 συμπληροῦμεν: τῷ διαψη[φισμῷ τῷ δευτέρ]ῳ (τὸ δὲ ῳ νῦν ἀναγιγνώσκει ὁ Κενυών), ἀκριβῶς διότι ὅ τε νοῦς τῶν συμφραζομένων καὶ τὰ πράγματα αὐτὰ οὕτω κελεύουσι. Τῷ ὄντι, τούτου ἕνεκα μάλιστα, τοῦ ἐν τοῖς τιμητοῖς ἀγῶσιν ἀεὶ ἐνδεχομένου δευτέρου διαψηφισμοῦ, ἐπάναγκες ἦν ἵνα πλεῖον τοῦ τρίτου μέρους τοῦ ὅλου ὕδατος προσεπιμετρῆται τοῖς δικασταῖς. Καὶ περὶ τούτων δὲ διαλαμβάνομεν εἰδικώτερον ἐν τῇ πραγματείᾳ.

ε' Στίχ. 22-23. Ἔν τε τῇ τοῦ Βλασσίου καὶ τῇ τοῦ Κενυῶνος ἐκδόσει, ὡσαύτως δ' ἐν τῇ τῶν Κ.- W³, ἐν στίχ. 22 ἀναγιγνώσκεται: τὰ δὲ πολλ[ὰ τῶν [δικ]αστηρίων, περὶ δὲ τούτων ὁ Kenyon ὑποσημειοῦται: «τὰ δὲ πολλὰ Wn. spatio non satis, nisi fuit intervallum ante τα». Ἕνεκα τῆς καλλίστης παρατηρήσεως ταύτης καὶ διότι ἐνταῦθα περὶ τῶν δημοσίων μόνον ἀγώνων πρόκειται, ἠκάσαμεν: [τὰ δὲ δημόσι]α τῶν δικαστηρίων. Μηδενὶ δὲ φανῇ παράδοξος ἡ ὀνομασία αὕτη, διότι αὐτὸς ὁ Ἀριστοτέλης, ὡς ἤδη παρετηρήσαμεν ἐν τοῖς ἔμπροσθεν (σελ. 25 σημ. 2), περὶ τῶν Θεσμοθετῶν λέγων, τάδε διδάσκει αὐταῖς λέξεσιν ἐν Κεφ. 59. 5: καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς οὗτοι τὰ δικαστήρια τά ⟨τ'⟩ **ἴδια καὶ τὰ δημόσια**. Ἀλλὰ καὶ ἄλλος ἔτι λόγος συνηγορεῖ ὑπὲρ τῆς ἀναγνώσεως ταύτης· διότι τουτέστι περὶ δημοσίων μόνον δικαστηρίων ἐδύνατο νὰ λεχθῇ, ὃ κατωτέρω διαρρήδην λέγεται, ὅτι δύο ἢ τρία κατὰ τὰς ἑκάστοτε περιστάσεις συνερχόμενα, ἀπετέλουν τὰ μέγιστα τῶν δημοσίων δικαστηρίων, ὁτὲ μὲν ἐκ 1001 ὁτὲ δ' ἐκ 1501 δικαστῶν συνιστάμενα. Νομίζομεν μάλιστα ὅτι ἐντεῦθεν προσῆκον εἶνε νὰ συναγάγωμεν, ὅτι τὰ τὰς κυρίως δημοσίας δίκας ἢ γραφὰς δικάζοντα δικαστήρια, διὰ δὲ τοῦτο δημόσια καλούμενα, ἐκ τοῦ αὐτοῦ ἀεὶ ἀπετελοῦντο ἀριθμοῦ δικαστῶν, τουτέστιν ἐξ ἑνὸς καὶ πεντακοσίων.

(1) Σημειωτέον δ' ὅτι τὸ Δ, καθὰ ἡμᾶς εὐμενῶς πάνυ διδάσκουσιν ὅ τε Blass καὶ ὁ Kenyon, φαίνεται μάχεσθαι πρὸς τὰ μετὰ τὸ ἐπὶ τοῖς ἴχνη τοῦ ἐξαληλιμμένου γράμματος, κατὰ τὸν Βλάσσιον ⁴ ὁμοιάζοντος μᾶλλον πρὸς Γ.

Ὡσαύτως πιθανὸν ἡμῖν φαίνεται ὅτι ἐν στίχ. 17, εὐθὺς μετὰ τὰς λέξεις: ἐν δὲ τοῖς | τιμητοῖς ἀγῶσι, ἔνθα νῦν εἰσὶ τὰ ἀμφίβολα γράμματα: ... ατο ... ἐξεῖλε› ὡρίζετο ἴσως τὸ τῷ δευτέρῳ διαψηφισμῷ διδόμενον ἀναγκαῖον ποσὸν ὕδατος, μέρος καὶ τοῦτο τῆς διαμεμετρημένης ἡμέρας, ἐξαιρούμενον ἐξ αὐτῆς, ὅτι δὲ τοῦ ποσοῦ τούτου μνημονευομένου, εἵπετο εἶτα, ὡς ἐπεξήγησις: διαιρεῖται δ' ἡμέρα ἐπὶ τοῖς [. (;)

Τοὐναντίον, ἐπειδὴ τὰ ἴδια δικαστήρια ἄλλοτ' ἐξ ἄλλου ἐπληροῦντο ἀριθμοῦ δικαστῶν, κατὰ τὰς περὶ τῶν δικῶν ἑκάστων εἰδικὰς διακελεύσεις τοῦ νόμου, τούτου ἕνεκα οὐδ' ἐδύνατο νὰ ῥηθῇ περὶ αὐτῶν, ὥσπερ περὶ μόνων τῶν δημοσίων δικαστηρίων, ὅτι δύο ἢ τρία συνερχόμενα ἀπετέλουν τὴν ἡλιαίαν.

Περὶ δὲ τοῦ στίχ. 23 ὁ Κενυὼν παρατηρεῖ τάδε: «ante ασιν, σθε. . . habet L, sed erasum, et suprascriptum est σο». Πῶς ὅμως συμπληρωτέον τὸ χάσμα; Ὁ νοῦς ἴσως καὶ τοῦδε τοῦ στίχου εἶν' ὁ ἑξῆς: καὶ τούτοις τὰς δημοσίας δίκας ἢ τὰς γραφὰς ἢ τοὺς δημοσίους ἀγῶνας διδό]ασιν (1).

ς' Στίχ. 23-27. Καθὰ ἐν τῇ πραγματείᾳ παρατηροῦμεν, προκύπτει δὲ καὶ ἐκ τῆς ἀμέσως ἡγουμένης παρατηρήσεως, ἐν τοῖς στίχοις τούτοις οὐχ ἁπλῶς περὶ τῶν δημοσίων γραφῶν πρόκειται, ὡς ἤδη ἐν στίχ. 24 οἱ K-W-[3] ἀνεπλήρωσαν (2), τούτοις δὲ ἀκολούθως καὶ οἱ ἄλλοι ἐκδόται, ἀλλὰ πολλῷ μᾶλλον περὶ τοῦ κατὰ Ἁρποκρατίωνα (3) πρώτου εἴδους τῶν εἰσαγγελιῶν «ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις γίνεται». Περὶ τούτων καὶ ἄλλοτε διὰ μακρῶν διελάβομεν καὶ νῦν ἐν τῇ πραγματείᾳ λέγομεν τὰ εἰκότα. Εἶνε δὲ σφόδρα πιθανόν, καθ' ἡμᾶς, ὅτι ὡρίζετο ἅμα καὶ πότε, κατά τινα διάκρισιν, ἣν ἔτι ἐξακολουθοῦμεν ζητοῦντες, ὁτὲ μὲν δύο, ὁτὲ δὲ τρία δημόσια

(1) Ἀλλ' ἐπειδὴ καὶ ἁπλούστερον ἔτι ἔγραψεν ἴσως ὁ Ἀριστοτέλης, διὰ ταῦτα ἀνεπληρώσαμεν: ἐστὶ φ[ά καὶ τούτοις τὰ δημ]ΟCΙΑ [διδό]αοιν. Πρβλ. στήλ 33 στίχ. 24 ἐπ: «ὅταν μὲν τὰ ἴδια [δι]κάζωσι, τοὺς ἰδίους . . . [ὅταν] δὲ τὰ δ[η]μόσια, τοὺς δημοσίο[υ]ς».

Σημειώτεον ὅμως ὅτι καθὰ ὁ ἐλλογιμώτατος Κενυών, εὐμενῶς ἡμῖν χαριζόμενος, πρὸ ὀλίγων μόλις ἡμερῶν ἐγνώρισεν ἡμῖν, καὶ τὸ ὑπὸ τοῦ κριτικωτάτου Βλασσίου εἰκασθὲν ἤδη ἐν τῷδε τῷ στίχῳ ἀποδιδό]ασιν νῦν οὐ, εὑρίσκει ὅλως ἀδύνατον, διότι, λέγει, τὰ ὕπερθεν τοῦ στίχου γεγραμμένα γράμματα CΘ δύνανται νὰ ἐκληφθῶσιν καὶ ὡς ἐπανάληψις τῶν κάτωθι ἀποσβεσθέντων γραμμάτων, ὅτι δὲ τὰ εὐθὺς ἑπόμενα γράμματα θὰ ἐδύναντο ν' ἀναγνωσθῶσιν ὡς ΑΠ, ὅτε ἔξομεν ἀποδόασιν, ὑποτιθεμένης
δι
ἄνωθεν τοῦ στίχου, ἐν τῷ χάσματι, τῆς συλλαβῆς δι: ἀποδόασιν.

(2) Στήλ. 34 στίχ. 24: ὅταν δὲ δέ[ῃ τὰς δημοσίας γραφ]ας [εἰ]σαγαγεῖν κτέ.

(3) Ἐν λ. Εἰσαγγελία.

δικαστήρια συνήρχοντο. Εἰκασίαι περὶ τοῦ τελευταίου τούτου ζητήματος πολλαὶ ἄχρι τοῦδε ἐπῆλθον ἡμῖν, ἀλλὰ μία πασῶν, τόγε νῦν ἔχον, πιθανωτάτη ἡμῖν φαίνεται, ὅτι τουτέστιν ἡ ἐκκλησία, παραπέμπουσα εἰς τὴν ἡλιαίαν τοὺς περὶ τῶν μεγίστων δημοσίους ἀγῶνας, ὥριζεν ἅμα, κατὰ λόγον τῆς ἑκάστοτε σπουδαιότητος τοῦ ἀγῶνος, ἴσως δὲ καὶ τοῦ εἴδους αὐτοῦ, καὶ τὸν ἀριθμὸν τῶν μελλόντων νὰ δικάσωσιν αὐτὸν δικαστῶν. Τούτοις ἀκολούθως ἐν στίχ. 23-24 ἀνεπληρώσαμεν: ὅταν | δὲ δέ[ῃ τι ἐκ τῆς ἐκκλησί]ας ε[ἰς ā εἰ]σαγαγεῖν, συν]έρχεται κτλ. (1).

Ὅσον ἀφορᾷ εἰς τὴν τοῦ ἑπομένου στίχου 26 ἀναπλήρωσιν (2), δυσχερεστάτην καὶ ταύτην, μάλιστα διότι ἀγνοοῦμεν τὰ πράγματα, νομίζομεν ὅμως ὅτι, ἕνεκα τῆς προφανῶς στενοτάτης αὐτοῦ σχέσεως πρὸς τὴν ἀμέσως ἡγουμένην πρότασιν (: ὅταν δὲ δέῃ τι — εἰς τὴν ἡλιαίαν), ὅπως εὐοδωθῇ ἡ σύνταξις, ἠναγκασμένοι ἐσμὲν ἵν' ἐπαναλάβωμεν μὲν τὸ ὅταν μετά τινος ῥήματος οἷου δή ποτε, ἐξεύρωμεν δέ τινα γενικὸν ὅρον, δηλοῦντα τὰ εἰς ͵φ' καὶ α' εἰσαγόμενα ἀδικήματα.

Ἐγὼ μὲν οὖν ὑμῖν, ὦ νόμοι, βεβοήθηκα ὅσα εἶχον· λοιπὸν δ' ἐστὶ δεῖσθαι τῶν φιλολόγων καὶ τοὺς τὰ τῶν γραφέων αἰνίγματα εἰδότας παρακαλεῖν.

Τῇ 25 Φεβρουαρίου, 1904.

Π. Σ. Φ.

(1) Περὶ τοῦ δέῃ τι πρβλ. κεφ. 54.6: «κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι κτέ.» κεφ. 31.2: «κἄν τι δέωνται συμβουλεύεσθαι μετὰ τῆς βουλῆς κτέ.

(2) Ἀναγκαῖον νομίζομεν ἵνα ὑπομνήσωμεν ὧδε ὅτι ἐν στίχ. 26 ἀντὶ κλε, ἅπερ ὁ Wilcken ἀνέγνω, ὁ Kenyon ἀναγιγνώσκει κνα, ἃ ὅμως ὡσαύτως λέγει εἶναι ἀμφίβολα.

ΔΙΟΡΘΩΤΕΑ

Σελ.	21	στίχ.	26	ἀντὶ	μηδὲ	γράφ.	οὐδὲ
»	31	»	32	»	τρισκαίδεκα	»	τριακαίδεκα

Η ΙΣΟΚΡΑΤΕΙΟΣ ΡΗΤΟΡΙΚΗ

Οὐκ Ἰσοκράτεια εἶναι ἡγούμενος σὺν Θείλῳ (1) ἃ Σπεγγέλῳ (Συναγωγὴ τεχνῶν) συνείλεκται ὡς τῆς Ἰσοκράτους γεγραμμένης τέχνης λείψανα, ἀλλὰ πολλῷ ὑστέρων πλάσματα ἀνδρῶν, πειράσομαι τρίτος αὐτὸς μετὰ Ναβάρρον (2) καὶ Σχηχανὸν (3) ἰδίῳ τρόπῳ καὶ μεθόδῳ ἐκ τῶν Ἰσοκρατείων λόγων ἃ περὶ τῆς τέχνης ὁ ἀνὴρ ἐδόξαζε πορίσασθαί τε καὶ λόγῳ δηλῶσαι.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Α΄. ῥήτωρ, ῥητορικός, ῥητορική, ῥητορεύω, δημηγορῶ, ἀγορεύω.

1. Τὸ ὄνομα **ῥήτωρ** πλειστάκις μὲν εἰρημένον Ἰσοκράτει εὑρίσκεται, βούλεται δὲ λέγειν οὐ τὸν λογογράφον οὐδὲ τὸν ἐν δίκαις θατέρῳ τῶν διαδίκων συνηγοροῦντα οὐδὲ τὸν τὴν ῥητορικὴν διδάσκοντα ἢ τέχνας συγγράφοντα οὐδὲ τὸν ἐπιδεικτικοὺς λόγους γράφοντα ἢ λέγοντα, ἀλλὰ τὸν ἐν τῷ δήμῳ ἀγορεύοντα καὶ προστατοῦντα καὶ δύναμιν ἔχοντ' ἐν αὐτῷ· διὸ καὶ εὕρηται πολλάκις συνημμένον μὲν τῷ τε στρατηγῷ καὶ τῷ δημαγωγῷ καὶ τῷ δυνάστῃ καὶ τῷ βασιλεῖ καὶ τῷ τυράννῳ, ἐναντίως δὲ λεγόμενον τῷ ἰδιώτῃ· οἷον (5,81 ἐκδ. Benseler) «μὴ θαυμάσῃς εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτε ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων», καὶ (8,129) «γένος οὐδέν ἐστι κακονούστερον

(1) Hermes XXVII p. 11.
(2) Fssai sur la rhetorique Greque. Paris 1900.
(3) De fide artis Rhetoricæ Isocrati tributæ. Bonnæ 1901.

τῷ πλήθει τῶν πονηρῶν ῥητόρων καὶ δημαγωγῶν», καὶ (15,32) «Οὐ γὰρ μόνον ἰδιώτας φησί μου γενέσθαι μαθητάς, ἀλλὰ καὶ ῥήτορας καὶ στρατηγοὺς καὶ βασιλεῖς καὶ τυράννους», καὶ (7,14) «Ταύτῃ (τῇ πολιτείᾳ) καὶ τοὺς νόμους καὶ τοὺς ῥήτορας καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι», ἔνθ' ὁ ῥήτωρ τῷ ἄρχοντι ἴσον ἂν δύναιτο. Ἀλλὰ καὶ ἐπὶ τῶνδε τῶν παραδειγμάτων οὐδὲν ἀλλ' ἢ τὸν πολιτικὸν ἄνδρα, τὸν δημηγορεῖν δυνάμενον καὶ συμβουλεύειν τῷ δήμῳ εἴτ' ἀγαθὰ εἴτ' οὖν πονηρὰ ἴδοις ἂν τὸν ῥήτορα σημαίνοντα· ἐπὶ τοῦ (5,2) «Ὁρῶν τὸν πόλεμον τὸν ἐνστάντα σοι (Φιλίππῳ) καὶ τῇ πόλει--ἐπεχείρησα λέγειν--οὐδὲν τῶν αὐτῶν --τοῖς ὑπὸ τῶν ῥητόρων τῶν παρ' ἡμῖν (λεγομένοις)», καὶ ἐπὶ τοῦ (8,5) «πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν», καὶ (8,26) «περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ἐν ἡμῖν ἐτόλμησεν», καὶ (8,124) «οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις», καὶ (9,45) «τίς ἂν ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν», ἔνθα ὁ λόγων εὑρετὴς ὁ ἐπιδεικτικὸς ἂν εἴη ῥήτωρ ὁμοίως καὶ ἀλλαχοῦ που ῥηθείς, (5,144) «τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λόγων εὑρετὴς οὔτε ποιητὴς ἐπαινέσειεν», καὶ (12,12) «Πάντες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων δημηγορεῖν τολμῶντας», καὶ 12,15) «τῶν μὲν γὰρ ῥητόρων τὸν τρόπον ψέγοντες προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται». Ταὐτὸν δὲ δυνάμενον ζητῶν ἂν εὕροις καὶ τὸν ἀλλαχοῦ που Ἰσοκράτους εἰρημένον ῥήτορα (14,3.4.15,112.146.203 214.16,7). Τὸν δὲ τὸ παράπαν εὖ λέγειν ἢ λόγους γράφειν δυνάμενον οὐ ῥήτορα, ὥσπερ οἱ ἄλλοι, Ἰσοκράτης λέγειν εἴωθεν, ἀλλ' ἕτερον ὄνομα χαίρει ὀνομάζων.

2. Ὁ **ῥητορικὸς** δ' ἐστιν αὐτοῦ Ἰσοκράτους διδάσκοντος ὁ ἐν τῷ πλήθει λέγειν δυνάμενος· εἶπε γὰρ ἐν Νικοκλεῖ αὐτὸν ὁριζόμενος (2,8) «ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους» καὶ ἐν Ἀντιδόσει (274) ταὐτὰ λέγων.

3. Ἡ δὲ **ῥητορικὴ** οὐδαμοῦ Ἰσοκράτους εἰρημένη εὑρίσκεται, ἄλλοις ὀνόμασιν ὅπερ αὕτη βούλεται εἰπόντος.

4. Τὸ δὲ **ῥητορεύειν** ἐστὶ μὲν τὸ ἐν τῷ πλήθει λέγειν, ἔστι δὲ καὶ τὸ κατ' Ἰσοκράτη ῥήτορα εἶναι καὶ τοῦτο πράττειν καὶ ἐπιτη-

δεύειν· μαρτύριον δὲ τό τε ἐν Φιλίππῳ που (25) λεχθὲν «πάντες ὑπειλήφασι τοὺς μὲν (λεγομένους λόγους) περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων ῥητορεύεσθαι» καὶ τὸ τῆς ὀγδόης ἐπιστολῆς που (27) «ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην».

Μᾶλλον δ' ἂν αὐτῷ περὶ αὐτῶν τούτων εἰρημένον τὸ **δημηγορῶ** ἂν εὕροις· εἶπε γὰρ ἔν τε τῷ περὶ Εἰρήνης (9) «οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων», καὶ (27). Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν -- πολλῶν πραγμάτων ἅψεσθαι», καὶ ἐν τῷ Παναθηναϊκῷ (29) «τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων», καὶ τῶν ἐπιστολῶν ἔν τε τῇ πρώτῃ (9) «Καὶ μὴ θαυμάσῃς εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς αἴρομαι πρᾶγμα»· ἔνθα γε σαφῶς ἂν ἴδοις ὡς ὁ δημηγορῶν αὐτός ἐστι τῷ ῥήτορι, ὥσπερ οὗτος (1) τῷ στρατηγῷ τε καὶ τῷ δυνάστῃ συνεζευγμένος ἐν λόγῳ· καὶ ἐν τῇ ὀγδόῃ (10 «ἂν μὴ δημηγορῶσι μηδὲ στρατηγῶσι», ὁμοίως τοῦ δημηγορεῖν τῷ στρατηγεῖν ἀντιστοιχοῦντος.

5. Ἐλέχθη δὲ τοῦ Ἀρχιδάμου που καὶ **ἀγορεύω** ταὐτὰ τῷ δημηγορῶ δυνάμενον, (2) «τῶν εἰθισμένων· ἐν ἡμῖν ἀγορεύειν».

Β'. Γένη τῶν λόγων.

Γένη τοῦ καταλογάδην λόγου παντοῖά τε καὶ δυσαρίθμητα κατ' Ἰσοκράτη τυγχάνει ὄντα· λέγει γὰρ τῆς Ἀντιδόσεώς που (45) «τρόποι (γένη) εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ μέτρου ποιημάτων. Οἱ μὲν γὰρ τὰ γένη τὰ τῶν ἡμιθέων ἀναζητοῦντες τὸν βίον τὸν αὐτῶν κατέτριψαν (λογογράφοι), οἱ δὲ περὶ τοὺς ποιητὰς ἐφιλοσόφησαν (τῶν νεωτέρων λογογράφων τινές), ἕτεροι δὲ τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἐβουλήθησαν (ἱστορικοί), ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς (Σωκρατικοί ;) καλοῦσιν. Εἴη δ' ἂν οὐ μικρὸν ἔργον, εἰ πάσας τις τὰς ἰδέας (τὰ εἴδη) τὰς τῶν λόγων ἐξαριθμεῖν ἐπιχειρήσειεν».

Ἕτερον δὲ λόγων γένος, περὶ οὗπερ πολλαχοῦ τῶν λόγων ἔτυχεν εἰπών, οἱ λόγοι οἱ ἐρεστικοὶ ἂν εἶεν, ἄλλοι τινές, ὡς ἔοικεν, ὄν-

τες ἢ οἱ ἀντιλογικοὶ (15,45), τῶν δὲ περὶ τὰς ἔριδας λεγομένας σοφιστῶν ἢ φιλοσόφων· εἶπε γὰρ ἐν μὲν τῷ πρὸς Νικοκλέα (5) «καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων. οἱ δὲ διὰ τῶν πολιτικῶν --φρονιμωτέρους ἔσεσθαι τοὺς αὑτοῖς πλησιάζοντας», ἐν δὲ τῷ Παναθηναϊκῷ (26) «λέγω δὲ τήν τε γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλουμένους», ἐν δὲ τῇ Ἀντιδόσει (280) «ἡγοῦμαι γὰρ τοὺς ἐν τοῖς ἐριστικοῖς λόγοις δυναστεύοντας--οὐ βλάπτειν τοὺς συνόντας», ἐν δὲ τῷ κατὰ Σοφιστῶν (20) «οὗτοι μὲν (οἱ ἐριστικοὶ) τοιαῦτα λογίδια διεξιόντες, ὅμως ἀρετὴν ἐπηγγείλαντο».

Ἴδιον δὲ λόγων γένος οἱ ῥητορικοὶ δήπου λόγοι τυγχάνουσιν ὄντες, περὶ ὧν αὐτίκα ἡμῖν ἰδίᾳ λόγος ἔσται.

Γ'. Λόγος

1. Τὸν ῥητορικὸν ὡς τὸ ἐπίπαν εἰπεῖν λόγον Ἰσοκράτης **λόγον** ἁπλῶς φιλεῖ λέγειν. Εἶπε μὲν γὰρ τοῦ Νικοκλέους που (1) «διὰ τοὺς ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους χαλεπῶς πρὸς τοὺς λόγους ἔχουσι» · λέγει δὲ ταῦτα ἀπολογούμενος πρὸς ἃ τότε τῆς ῥητορικῆς πολλοὶ κατηγόρουν, ὧν καὶ Πλάτων ἦν· εἶπε δ' ἐν τῷ Πανηγυρικῷ (10) «ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν»· ἐν οἷς ἡ περὶ τοὺς λόγους φιλοσοφία οὐδὲν ἄλλο οὖσα δηλοῖ ἢ ἡ τέχνη ἡ ῥητορική, οἱ δὲ λόγοι οὐδὲν ἀλλ' ἢ ῥητορικοὶ λόγοι ὄντες. Τούτοις δ' ὅμοια πόλλ' ἂν προσθεῖμεν παραδείγματα τἀληθὲς τοῦ λόγου ἡμῖν μαρτυροῦντα, οἷον ἐκ μὲν τοῦ Πανηγυρικοῦ (11) «Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι», καὶ (12) «(τοὺς) ζητήσοντας ἰδεῖν τὸ τοιοῦτον ἐν τοῖς ἐμοῖς (λόγοις)», καὶ (13) «χαλεπόν ἐστιν ἴσους τοὺς λόγους τοῖς ἔργοις ἐξευρεῖν», καὶ (17) «ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον» (τῶν συμβουλευόντων τῇ πόλει ῥητόρων τε καὶ δυναστῶν τοὺς λόγους λέγει), ἐκ δὲ τοῦ Φιλίππου (1) «Τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν--τοῦ περὶ Ἀμφιπόλεως γραφέντος», καὶ (7) «ἤλπισαν ὅσοιπερ ἤκουσαν διαδοθέντος τοῦ λόγου διαλύσεσθαι τὸν πόλεμον ὑμᾶς», καὶ (αὐτ.) «πρὶν ἐξεργασθῆναι τὸν λόγον», καὶ

(25) «διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων», καὶ ἐκ τοῦ Εὐαγόρου (11) ἀποπειρατέον τῶν λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν», καὶ (44 Bekk) «Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτῷ προσῆκεν ἀξιοῦσθαι», καὶ (45 Bek,), «τίς ἂν ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειε ;», καὶ (90 Bk.) «(τὰς εἰκόνας), ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε», καὶ (93 Bk.) τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ' ἔστιν εἰς τὴν Ἑλλάδα», καὶ (94) «ἐπεχείρησα γράφειν τὸν λόγον τοῦτον», καὶ ἐκ τοῦ κατὰ Σοφιστῶν (12) «τὸ δὲ τῶν λόγων πᾶν τοὐναντίον πέπονθε», καὶ (13) «τοὺς μὲν γὰρ λόγους οὐχ οἷόν τε καλῶς ἔχειν», καὶ ἐκ τῆς Ἀντιδόσεως (15) «οἱ μὲν ἄλλοι τοῖς λόγοις διαλύονται τὰς διαβολάς, ἐμοῦ δὲ Λυσίμαχος αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκε.» Καὶ ἄλλα δὲ πολλὰ ὁμοίως κεχρημένον τοῖς λόγοις ἢ τῷ λόγῳ Ἰσοκράτην ἂν εὕροις.

Δ'. Ῥητορική.

1. Τὴν μὲν ῥητορικὴν τοὔνομα Ἰσοκράτης, ὅπερ λέγω, οὐδαμοῦ τῶν αὐτοῦ λόγων εἰπὼν φαίνεται· ἀντ' αὐτῆς δ' εἶπε μὲν **τὴν περὶ τοὺς λόγους φιλοσοφίαν**, οἷον (4,10) «ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν», εἶπε δὲ **τὴν φιλοσοφίαν** ἁπλῶς, οἷον (12,9) «περὶ τὴν φιλοσοφίαν, ἣν προειλόμην, ἀτυχίαι τινὲς καὶ συκοφαντίαι γεγόνασι», ὅ ἐστι περὶ τὸ γένος τῆς ῥητορικῆς πραγματείας καὶ (15,50) «Περὶ μὲν οὖν τῆς ἐμῆς φιλοσοφίας ἀκηκόατε πᾶσαν τὴν ἀλήθειαν», καὶ (13,7) «Πρὸ πολλῶν μὲν ἂν χρημάτων ἐποιησάμην τηλικοῦτον δύνασθαι τὴν φιλοσοφίαν», κα' (11,1), τήν τε ῥητορικὴν ἅμα καὶ σοφιστικὴν λέγων, «τοῖς ἐκ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν», καὶ 15, 10) «περὶ δὲ φιλοσοφίας πεπαρρησιασμένα», καὶ (15,205), τὴν σοφιστικὴν τὴν ῥητορικὴν διδάσκουσαν λέγειν βουλόμενος, «τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο συμβεβηκός», καὶ (15,81) «κατέλιπον ἡμῖν περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν», καὶ (αὐτ. 183 καὶ 279) «οἱ περὶ τὴν φιλοσοφίαν ὄντες

τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος διεξέρχονται τοῖς μαθηταῖς» καὶ (αὐτ. 186) «ὁ μὲν τύπος τῆς **φιλοσοφίας** τοιοῦτός τίς ἐστιν», ὅ ἐστι τῆς διδασκαλίας τῆς ῥητορικῆς, καὶ (αὐτ. 175) «εἰ μὲν ἡ **φιλοσοφία** τοιαύτην ἔχει δύναμιν», καὶ (αὐτ. 176) «οἷός τ' ἂν ἐγενόμην τῇ **φιλοσοφίᾳ** βοηθῆσαι», καὶ (αὐτ. 270) «περὶ δὲ σοφίας καὶ **φιλοσοφίας**--ἐμοὶ--προσήκει τὴν δικαίως ἂν νομιζομένην ὁρίσαι», καὶ (Ἐπ. 6, 8) «τοὺς περὶ τὴν **φιλοσοφίαν** τὴν ἡμετέραν διατρίβοντας»· δηλοῖ δ' οὖσα ἡ τῆς ῥητορικῆς διδασκαλία· καὶ (13,21) «τοῖς ὑπὸ τῆς **φιλοσοφίας** ταύτης προσταττομένοις», καὶ (15,170) «τήν τε **φιλοσοφίαν** ἐκ πολλῶν ἐνόμιζον ἐπιδείξειν ἀδίκως διαβεβλημένην».

2. Ἔτυχε δέ που Ἰσοκράτους καὶ **ἐπιστήμη τῶν λόγων** ἡ ῥητορικὴ κληθεῖσα, οἷον (13,10) «φασὶν ὁμοίως τὴν **τῶν λόγων ἐπιστήμην** ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν».

3. Τὰ δὲ γεγραμμένα περὶ ῥητορικῆς διδάγματα ὥσπερ καὶ οἱ ἄλλοι **τέχνας** καὶ ὁ Ἰσοκράτης ἐκάλεσεν, εἰπών που (13,19) «οἱ τὰς καλουμένας **τέχνας** γράψαι τολμήσαντες». Καὶ τὸ ἔργον δὲ τούτων, τὴν πολιτικὴν ῥητορικὴν διδασκόντων, **τέχνην** ἰδίᾳ που εἶπε, (13,19) «ἡγοῦνται τοῦτ' εἶναι τὴν **τέχνην**, ἣν ὡς πλείστους --προσαγάγωνται», καὶ (αὐτ. 10) «μεγάλας ποιοῦσι τὰς **τέχνας** οὐχ οἱ τολμῶντες ἀλαζονεύεσθαι περὶ αὐτῶν».

4. Εἶπε δὲ Ἰσοκράτης καὶ **παίδευσιν ἢ παιδείαν ἢ μελέτην τῶν λόγων ἢ περὶ τοὺς λόγους** τὴν τῆς ῥητορικῆς διδασκαλίαν ἢ μάθησιν λέγων, οἷον (13,10) «καὶ **τὴν παίδευσιν τὴν τῶν λόγων** πλείονος ἀξίαν δόξειν εἶναι», καὶ (15,168) «δυσκόλως διακειμένους περὶ **τὴν τῶν λόγων παιδείαν**», καὶ (αὐτ. 180) «Βούλομαι δὲ περὶ **τῆς τῶν λόγων παιδείας**--διελθεῖν πρὸς ἡμᾶς», καὶ (αὐτ. 177) «πείσας τοιαύτην εἶναι νομίζειν **τὴν τῶν λόγων μελέτην**», καὶ (Ἐπ. 5, 4) «προαιρεῖσθαι δὲ **τὴν παιδείαν τὴν περὶ τοὺς λόγους**».

Ε΄. Οἱ περὶ τοὺς λόγους.

1. Τοὺς ῥήτορας ὡς τὸ ὅλον εἰπεῖν, οὐ τοὺς δημηγοροῦντας μόνον **τοὺς περὶ τοὺς λόγους** Ἰσοκράτει κεκλημένους εὑρίσκομεν,

τάδε που εἰπόντι (9,9) «τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι·--τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων».

2. Ἐλέχθη δ' οὐχ ἅπαξ καὶ **φιλόσοφος** ὁ ῥήτωρ ἢ ὁ σοφιστής, οἷον (10,66) «τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι λέγειν περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ (τῇ Ἑλένῃ)», καὶ (11, 48) «ἠβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν ὡς χρή--ποιεῖσθαι τὰς ἀπολογίας».

3. Τὸ δὲ τῇ ῥητορικῇ παιδεύειν ἢ περὶ ταύτην διατρίβειν **φιλοσοφεῖν** Ἰσοκράτει τυγχάνει ὄν· εἶπε γάρ που (3, 1) «εἰσί τινες οἳ διαμέμφονται τοὺς φιλοσοφοῦντας καί φασιν αὐτοὺς πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς», καὶ ἄλλοθι (12,11) «ἐπειδὴ τοῦ πολιτεύεσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν κατέφυγον», καὶ (13,14) «πολλοὶ τῶν φιλοσοφησάντων ἰδιῶται διετέλεσαν» καὶ (αὐτ. 18) «τούτων μὲν ἁπάντων συμπεσόντων τελείως ἕξουσιν οἱ φιλοσοφοῦντες».

4. Πολλάκις δ' ἂν Ἰσοκράτη διεξιὼν τῷ **οἱ περὶ τὴν φιλοσοφίαν** ἐντύχοις· ἔστι δ' ὡς τὸ πολὺ τῷ οἱ περὶ τὴν ῥητορικὴν ἢ τὴν τοιαύτην παίδευσιν ἴσα δυνάμενον, ἔστι δ' ὅτε καὶ τῷ οἱ περὶ παιδείαν ἁπλῶς· οἷον (9,8) «περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες», καὶ (15,30) «ἐκ δὲ τῶν ἄλλων λόγων ποιεῖ με τηλικοῦτον (ὁ κατήγορος), ὅσος οὐδεὶς πώποτε γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ φιλοσοφίαν διατριψάντων», καὶ (αὐτ. 183) «Οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος, διεξέρχονται τοῖς μαθηταῖς», καὶ (αὐτ. 279) «μηδεὶς ὑμῶν οἰέσθω τοὺς περὶ τὴν φιλοσοφίαν ὄντας μόνους ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν», καὶ (2,51) «περὶ μὲν τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες», ὅ ἐστιν οἱ παιδεύειν ἐπαγγελλόμενοι, καὶ (13,1) ὥστε δοκεῖν ἄμεινον βουλεύεσθαι τοὺς ῥᾳθυμεῖν αἱρουμένους τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων».

5. Τοὺς δὲ τὴν ῥητορικὴν πρός τε τὸ δικάζεσθαι καὶ τὸ δημηγορεῖν διδάσκοντας τῶν σοφιστῶν τι γένος εἶναι λέγων, ὁτὲ μὲν τὸ ἐπίπαν **σοφιστὰς** καλεῖ, οἷον (13,14) «ἄλλοι δέ τινες οὐδενὶ πώποτε συγγενόμενοι τῶν σοφιστῶν καὶ λέγειν καὶ πολιτεύεσθαι δεινοὶ γεγό-

νασι», καὶ (αὐτ. 19) «οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμενοι-- ἐπὶ ταύτην κατενεχθήσονται τὴν ὑπόθεσιν», καὶ (15,155) «οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα συλλεξάμενος», καὶ (157) «μηδὲ τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τοῦ σοφιστοῦ καὶ τοῦ ὑποκριτοῦ», καὶ (197) «λέγουσι γὰρ οἱ μὲν ὡς ἔστι ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός», καὶ (203) «Τίς γὰρ οὐκ οἶδεν ὑμῶν πολλοὺς τῶν ὑπὸ τοῖς σοφισταῖς γενομένων--ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας;». Ὅτι δὲ εἴδη αὐτοὺς νέμει, τούς τε μόνον πρὸς δικανικοὺς παιδεύοντας λόγους καὶ τοὺς πρὸς ἀμφότερα, δικανικούς τε καὶ δημηγορίας, πολιτικοὺς λόγους αὐτοὺς λέγων, περὶ ἃ μάλιστα καὶ αὐτοῦ ἡ διατριβὴ καὶ συνουσία· εἶπε γάρ που (13.9) «Οὐ μόνον δὲ τούτοις (τοῖς περὶ τὰς ἔριδας σοφισταῖς) ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι», καὶ (αὐτ. 19) «λοιποὶ δ' ἡμῖν εἰσιν οἱ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες--, οἵτινες ὑπέσχοντο δικάζεσθαι διδάξειν», καὶ (251) «ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν (παίδευσιν) ὄντες καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας», καὶ (13,20) «ἐκεῖνοι (οἱ πρὸς τοὺς δικανικοὺς λόγους διδάσκοντες) ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες, ἀμελήσαντες τῶν ἄλλων προσόντων αὐτοῖς ἀγαθῶν πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι». (Ἰδὲ καὶ 215. 220. 237).

6. Τοὺς δὲ οἵους τε ὄντας ἐν πλήθει λέγειν πρὸς τοὺς ἱκανοὺς γράφειν λόγους παντοίους, καὶ οὐ δικανικοὺς μόνον, **ἀγωνιστὰς** ὁ Ἰσοκράτης εἶπε, **λόγων ποιητάς**, οὐ λογογράφους, ἐκείνους καλέσας, (14,45) «ἡ δὲ παίδευσις τοὺς καταδεεστέραν τὴν φύσιν ἔχοντας ἀγωνιστὰς μὲν ἀγαθοὺς ἢ λόγων ποιητὰς οὐκ ἂν ἀποτελέσειε», καὶ (15,201) «δύο μὲν ἢ τρεῖς ἐξ ἁπάντων τῶν διδασκαλείων ἀγωνιστὰς γιγνομένους», καὶ (204) «ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας», καὶ (15,192) «λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστάς, τούτου μόνου ἀποστερηθείς, τοῦ τολμᾶν, οὐδ' ἂν φθέγξασθαι δυνηθείη».

7. Τοὺς δὲ δικανικοὺς ῥήτορας εἴτε συνηγοροῦντας εἴτε καὶ λογογραφοῦντας πανταχοῦ σχεδὸν ἀτιμάζει λέγων πρὸς τὴν οἰκείαν δια-

τριβὴν καὶ πραγματείαν· εἶπε γὰρ αὐτοὺς **τοὺς περὶ τὰ δικαστήρια καλινδουμένους ἢ τοὺς τὰς δίκας εὖ λέγοντας ἢ τοὺς περὶ τὰς δίκας ἢ περὶ τοὺς ἀγῶνας δεινούς, ἢ τοὺς ἀπὸ τῶν συμβολαίων ζῶντας ἢ τοὺς παρασκευάζοντας τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις ἢ τοὺς περὶ τὰς δίκας ἢ τοὺς περὶ τὴν γραφὴν τὴν τῶν λόγων ἢ τοὺς δικανικοὺς δοκοῦντας εἶναι** καὶ ἄλλ' ἄττα τοιαῦτα· οἷον (15,30) «ὅσος |οὐδείς πώποτε γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ τὴν φιλοσοφίαν διατριψάντων», καὶ (15,47) «νομίζοντες τοὺς ἐν τοῖς τοιούτοις πρωτεύοντας -- μᾶλλον ὠφελεῖν δυναμένους εἶναι τῶν τὰς δίκας εὖ λεγόντων», καὶ (αὐτ. 49) «πρὸς δὲ τούτοις τοὺς μὲν περὶ τὰς δίκας δεινοὺς (συνίσασι) πόρρω τῶν λόγων ἐκείνων ὄντας», καὶ (12,1) «οὓς (λόγους) οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν», καὶ (αὐτ. 38) «τοὺς μὲν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντας ἴδοιτ' ἂν μόνον οὐκ ἐν τοῖς δικαστηρίοις οἰκοῦντας», καὶ (αὐτ. 41) «παμπληθεῖς εἰσιν οἱ παρασκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις», καὶ (αὐτ. 42) «ἔχων πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ βίου τοῦ τ' ἐμοῦ καὶ τῶν περὶ τὰς δίκας», καὶ (12,29) «τὴν αὐτὴν γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων» καὶ (15,48) «καὶ τοὺς μὲν δικανικοὺς δοκοῦντας εἶναι (συνίσασι) ταύτην τὴν ἡμέραν μόνην ἀνεκτοὺς ὄντας, ἐν ᾗπερ ἂν ἀγωνιζόμενοι τυγχάνωσι».

ϛ'. Εἴδη ῥητορικῶν λόγων.

α) Πολιτικοὶ λόγοι.

1. Τὸ μὲν ὅλον τῶν ῥητορικῶν λόγων γένος λόγους ἁπλῶς Ἰσοκράτης φιλεῖ λέγειν (Ὅρα Γ'). Διακρίνειν δὲ βουλόμενος τοὺς ἰδίους ἑαυτοῦ τοῦ ἄλλου καταλογάδην λόγου εἶπέ που ἐν Ἀντιδόσει (46) «ἧς δ' οὖν (ἰδέας λόγων) ἐμοὶ προσήκει, ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. Εἰσὶ γάρ τινες, οἳ τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ὑμετέρων συμβολαίων.

ἀλλ' Ἑλληνικοὺς καὶ **πολιτικοὺς** [καὶ πανηγυρικούς], οὓς ἅπαντες ἂν φήσειαν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις». Ὅ,τι μὲν οὖν οἱ ἐνταῦθα λεγόμενοι πολιτικοὶ λόγοι βούλονται λέγειν αὐτὸς ἡμῖν ὁ Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ εἶπε λέγων (2) «περὶ ἐκείνους (τῶν λόγων) ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας», καὶ (αὐτ. 11) «τὴν προαίρεσιν ποιούμενος--περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων»· τοῦτο δ' ἔστιν οἱ περὶ τῶν πολιτικῶν πραγμάτων λόγοι.

6) Πολιτικοὶ λόγοι.

2. Ἀλλαχοῦ δ' ἄλλ' ἄττα τῷ ὀνόματι τούτῳ, τοῖς πολιτικοῖς λόγοις οὐχ ἅπαξ ὀνομάζων εὑρίσκεται· φαίνεται γὰρ λέγων τοὺς ἐν πολίταις καὶ τῷ πλήθει οὐ μόνον περὶ πολιτικῶν ἀλλὰ καὶ περὶ δικανικῶν πραγμάτων λεγομένους, οἷον ἐν τῇ Ἀντιδόσει (258) «τῶν περὶ τὰς ἔριδας σπουδαζόντων ἔνιοι βλασφημοῦσι περὶ τῶν λόγων τῶν κοινῶν·--(260) περὶ τοὺς πολιτικοὺς λόγους ἡμεῖς ὄντες, οὓς ἐκεῖνοί φασι εἶναι φιλαπεχθήμονας, πολὺ πραότεροι αὐτῶν τυγχάνομεν ὄντες» καὶ ἐν τῷ κατὰ Σοφιστῶν (20) «ἐκεῖνοι δὲ (οἱ δικάζεσθαι διδάξειν ὑπισχνούμενοι 19) ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες--πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι», καὶ (αὐτ. 9) «Οὐ μόνον δὲ τούτοις (τοῖς τὴν ἀρετὴν διδάξειν ὑπισχνουμένοις (σοφισταῖς)), ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι», ὅ ἐστι τοῖς τὴν ῥητορικὴν διδάσκουσι, καὶ (αὐτ. 21) «Οὐ μὴν ἀλλὰ συμπαρακελεύσασθαί γε καὶ συνασκῆσαι ἂν (εἰς σωφροσύνην καὶ δικαιοσύνην) οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν», καὶ ἐν τῷ πρὸς Νικοκλέα (51) «καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας», ἔνθα οἱ διὰ τῶν πολιτικῶν λόγων τοῦτ' ἔσεσθαι φάσκοντες οἱ τῆς ῥητορικῆς εἰσι διδάσκαλοι. Πολλάκις δ' ἐν τοῖς παραδείγμασι τούτοις οἱ πολιτικοὶ λόγοι ἐναντίοι τοῖς ἐριστικοῖς ἐφάνησαν λεγόμενοι.

Ῥητορεία.

3. Τῶν περὶ τοὺς λόγους τοὺς ῥητορικοὺς ὀνομάτων ἐστὶ καὶ ἡ ῥητορεία. Βούλεται δὲ λέγειν τὸν ἔντεχνον ἐν τῷ πλήθει λόγον λεγόμενον· δηλοῖ δ' αὐτὸς εἰπὼν ἐν μὲν Φιλίππῳ (26) «ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν ταῖς ῥητορείαις γιγνομένων --, εἰκότως, οἶμαι, φαῦλος εἶναι δοκεῖ τοῖς ἀκούουσιν», ἐν δὲ τῷ Παναθηναϊκῷ (2) «περὶ ἐκείνους (τῶν λόγων) ἐπραγματευόμην--, τοὺς πολλῶν μὲν ἐνθυμημάτων γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν», ἐν δὲ τῷ κατὰ Σοφιστῶν (21) «Καίτοι τοὺς βουλομένους πειθαρχεῖν τοῖς ὑπὸ τῆς φιλοσοφίας ταύτης (τῆς ῥητορικῆς παιδεύσεως) προσταττομένοις πολὺ ἂν θᾶττον πρὸς ἐπιείκειαν ἢ πρὸς ῥητορείαν ὠφελήσειαν».

Οἷον ῥητορεῖαι δὲ λόγοι αὐτοῦ εἰσιν ὅ τε περὶ Εἰρήνης καὶ ὁ Ἀρεοπαγιτικὸς καὶ ὁ Ἀρχίδαμος συμβουλευτικοὶ ὄντες καὶ ὁ Πλαταϊκὸς βοηθείας δέησις.

Οἱ πρὸς τὰς ἐπιδείξεις λόγοι.

4. Τὸ ὄνομα λόγον ἐπιδεικτικὸν οὐκ ἂν λάβοις θηρῶν παρ' Ἰσοκράτει· τοὺς δὲ λόγους τοὺς τοιούτους τοὺς πρὸς ἐπίδειξιν ἢ ἐπιδείξεις πανταχοῦ χαίρει λέγων. Ἦσαν δ' ὡς τὸ πολὺ ἐγκώμια ἢ ἀπολογίαι ἢ κατηγορίαι ἢ μυθώδεις καὶ τερατείας μεστοὶ λόγοι (12,1), ἔστι δ' ὅτε συμβουλευτικοὶ δοκοῦντες εἶναι ἐναντίοι ὄντες τοῖς τε ὡς ἀληθῶς συμβουλευτικοῖς ἢ παραινετικοῖς καὶ τοῖς δικανικοῖς, τῶν σοφιστῶν δὲ μάλιστα ἐπιτηδεύματα καὶ ἔργα γραφόμενα ἢ ἐπιστελλόμενα ἢ ἐν συλλόγοις ἀνδρῶν καὶ πανηγύρεσι λεγόμενα, ὧν καὶ οἱ πανηγυρικοὶ ἐπονομασθέντες λόγοι. Εἶπε δὲ περὶ τούτων πολλαχοῦ τῶν λόγων, οἷον (15,1) «Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι τοῖς ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἐπιδείξεις γιγνομένοις, οὐδὲν ἄν, οἶμαι, ἔδει προδιαλεχθῆναι περὶ αὐτοῦ», καὶ (4,11) «ὥσπερ ὁμοίως δέον ἀμφοτέρους ἔχειν (τοὺς δικανικοὺς καὶ τοὺς πανηγυρικούς), ἀλλ' οὐ τοὺς μὲν ἀσφαλῶς, τοὺς

δ' ἐπιδεικτικῶς», καὶ (4,17) «τὸν μὴ μόνον ἐπίδειξιν ποιούμενον ἀλλὰ καὶ διαπράξασθαί τι βουλόμενον», καὶ (5,17) «μέλλω σοι τὸν λόγον πέμπειν οὐκ ἐπίδειξιν ποιησόμενον - - ἀλλὰ πειρασόμενόν σε προτρέπειν ἐπὶ πράξεις οἰκειοτέρας καὶ καλλίους» καὶ (5,25) «πάντες ὑπειλήφασι τοὺς μὲν (τῶν λόγων τοὺς εἰς τὸ πείθειν λεγομένους) περὶ σπουδαίων πραγμάτων - - ῥητορεύεσθαι, τοὺς δὲ πρὸς ἐπίδειξιν - - γεγράφθαι», καὶ (5,27) «ἅπερ καὶ τὸ νῦν ἐπιδεικνύμενον (λόγον) μάλιστ' ἂν βλάψειε καὶ φαυλότερον φαίνεσθαι ποιήσειε», καὶ (10,9) τινὲς - - τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων. - - Ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν ὡς περὶ τῶν πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς, οἷς ἐπαγγέλλονται, τὴν ἐπίδειξιν ποιεῖσθαι», καὶ (5,93) «εἰ μὲν ἐπίδειξιν ἐποιούμην, ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦτα διαφεύγειν», καὶ (11,4) «Αἰσθανόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ πειράσομαί σοι ποιῆσαι καταφανές, ὅτι πολὺ τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες», καὶ (11,44) «οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιούμενος - - διαλέγομαι περὶ αὐτῶν», καὶ (12,1) «Νεώτερος ὢν προῃρούμην γράφειν τῶν λόγων οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστούς, οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν ἢ τοῖς περὶ τῆς αὐτῶν σωτηρίας λεγομένοις», καὶ (12,11) «ἐπὶ τὸ - - γράφειν ἃ διανοηθείην κατέφυγον, οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος - - οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν», καὶ (Ἐπιστ. 1,7) «οὐ γὰρ ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος πρὸς τὰς ἐπιδείξεις», καὶ (Ἐπ. 6,5) «μηδὲν ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν - - ἐπίδειξιν ποιούμενος», καὶ (12,233) «τετυχηκὼς ὥνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν», καὶ (12,271) «σπουδαιοτέρους καὶ φιλοσοφικωτέρους εἶναι νομίζοντας τοὺς διδασκαλικοὺς (λόγους) τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων», καὶ (15,55) «Εἰ μὲν γὰρ ἐπίδειξιν ποιούμενος ἔλεγον αὐτούς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν τούτων», καὶ (15,147) «Ὁρῶσι γὰρ ἐκείνων μὲν (τῶν περὶ τὴν φιλοσοφίαν ὄντων, ὅ ἐστι τῶν σοφιστῶν) τοὺς πλείστους - - ἔν τε ταῖς πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις ἐπιδείξεις ποιουμέ-

μους», καὶ (Ἐπ. 1.6) «τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν», καὶ (Ἐπ. 5,4) «μηδὲν ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν -- ἐπίδειξιν ποιήσασθαι βουλόμενος», καὶ (5,5) «εἴπερ ἐπιδείξει προσεῖχον τὸν νοῦν --, οὐκ ἂν ταύτην προειλόμην τὴν ὑπόθεσιν».

Οἱ συμβουλεύοντες λόγοι.

5. Τοὺς συμβουλευτικοὺς λόγους συμβουλεύοντας καλεῖ ὁ Ἰσοκράτης. Εὑρίσκεται γὰρ γράψας ἐν μὲν τῷ Παναθηναϊκῷ (2) «πάντας τούτους (τοὺς λόγους) ἐάσας περὶ ἐκείνους ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας», καὶ (13) «ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα τούτων γεγενημένον -- τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν», ἐν δὲ τῷ περὶ Ἀντιδόσεως (62) «χρησιμωτέρους εἶναι τῶν λόγων τοὺς ὑπὲρ ὧν δεῖ πράττειν συμβουλεύοντας», καὶ (67) «ἔστι δ' ὁ μέλλων δειχθήσεσθαι λόγος Νικοκλεῖ τῷ Κυπρίῳ -- συμβουλεύων», καὶ (77) «τίς (λόγος γένοιτ') ἂν περὶ καλλιόνων καὶ μειζόνων πραγμάτων τοῦ περὶ τῆς ὁμονοίας συμβουλεύοντος ;», ἐν δὲ τῷ πρὸς Νικοκλέα (42) «τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν ἀκούουσιν», ἐν δὲ τῷ Φιλίππῳ (18) «Φιλίππῳ συμβουλεύσοντα λόγον μέλλεις πέμπειν».

Λάθοις δ' ἂν θηρῶν ἐπὶ τοιούτων τὸ συμβουλεύειν πολλάκις αὐτοῦ ἐν τοῖς λόγοις εἰρημένον, οἷον (4,3) «ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτούς», καὶ (4,10) «ἐχρῆν -- μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν», καὶ (5,9) «ἅπερ ἐν τῷ Πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβουλευκώς», καὶ (5,16) «Μέλλω γάρ σοι συμβουλεύειν προστῆναι τῆς τε τῶν Ἑλλήνων ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας», καὶ (5,82) «ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι», καὶ (5, 105) «βελτίω τούτων οὐδεὶς ἂν συμβουλεύσειεν», καὶ (6,1) «περὶ τούτων νεώτερος ὢν παρελήλυθα συμβουλεύσων», καὶ (6,3) «μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν», καὶ (7,77) «παραχωρῶ

τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων», καὶ (8,1) «περὶ ὧν μέλλουσι συμβουλεύειν», καὶ (8,5) «τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν», καὶ (8,8) «οὐ τῶν τυχόντων συμβεβουλευκότων», καὶ πόλλ' ἄλλα ἀλλαχοῦ τοιαῦτα (8,28.62.12,2.14.262. 'Επ. 1,1.2.12.6,6.7,10.9,6).

Καὶ τῶν λόγων δ' αὐτοῦ πολλοί, ἐφ' οἷς μάλιστα μέγα φρονεῖ τε καὶ αὐχεῖ, συμβουλεύοντές εἰσιν, οἷος ὅ τε Πανηγυρικός, καὶ ἐγκώμιον ἅμα ὤν, καὶ ὁ Φίλιππος καὶ ὁ Ἀρχίδαμος καὶ ὁ Ἀρεοπαγιτικὸς καὶ ὁ περὶ Εἰρήνης καὶ αἱ πλεῖσται τῶν ἐπιστολῶν.

Γένος δέ τι τῶν λόγων τῶν τοιούτων καὶ **παραινοῦντας** φιλεῖ λέγειν, τοὺς πρὸς ἄνδρας ἂν λεγομένους, οἷς ἄν τίς τι παρακελεύηται ποιεῖν ἢ τινος ἀποτρέπειν σπουδάζῃ, οἷος ὁ πρὸς Νικοκλέα λόγος καὶ τοῦ Νικοκλέους ἡ πρὸς Κυπρίους τελευταία μοῖρα· ἔτυχε γάρ που εἰπὼν (3,10) «Καλλίστους (λόγους) ἡγοῦμαι -- τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς τοὺς ἄρχοντας διακεῖσθαι». Κατὰ δὴ ταῦτα καὶ τῶν συμβουλευόντων ὁ Ἀρεοπαγιτικὸς παραινῶν ἂν εἴη, τοιαῦτ' ἄττα πρὸς Ἀθηναίους λέγων τε καὶ συμβουλεύων. Ὅμοια δὲ καὶ παραπλήσια τῷ παραινεῖν κεχρημένος φαίνεται, οἷόνπερ ἐν τῷ πρὸς Νικοκλέα (54) «Ἐγὼ μὲν οὖν ἃ γιγνώσκω παρῄνεκα», καὶ ἐν τῷ Φιλίππῳ (105) «φοβοῦμαι μή τινες ἐπιτιμήσωσιν ἡμῖν, εἰ τολμῴην σοι παραινεῖν, τῷ πλεῖστα καὶ μέγιστα πεπραγμένῳ κατὰ πόλεμον», καὶ ἐν τῷ περὶ Εἰρήνης (145) «τοῖς νεωτέροις -- παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν», καὶ ἐν τῷ Παναθηναϊκῷ (1) «οὓς (λόγους) οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν», καὶ ἀλλαχοῦ (12,264. 'Επ. 9,6).

Ἐγκώμιον ἢ ἔπαινος, κατηγορία ἀπολογία, νουθέτησις ἢ ἐπίπληξις ἢ ἐπιτίμησις.

6. Ὁ μὲν εἶδος λόγου ἐστὶν **ἐγκώμιον** ἢ **ἔπαινος** αὐτῷ Ἰσοκράτει ὁρίσασθαι ἐμέλησεν εἰπόντι που (11,5) «δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ' ἀποφαίνειν», καὶ (48). «Οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν,

ὥσθ' οἷόν τ' εἶναι -- τοῖς μικροῖς μέγεθος περιθεῖναι», καὶ (16, 15) «ἐπαινεῖν (προσήκει) τοὺς ἐπ' ἀγαθῷ διαφέροντας», καὶ (12,85) «δεινόν - -, ἣν περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος παραλίπω τι τῶν ἐκείνῳ προσόντων ἀγαθῶν», καὶ (12,123) «δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν ἐπιδεικνύναι ὡς ἁπάσαις ταῖς ἀρεταῖς διήνεγκαν». Τοιαῦτα δ' ἐν νῷ ἔχων ἢ βουλόμενος οὐχ ἅπαξ τό τε ἐγκώμιον καὶ τὸν ἔπαινον ἢ τὸ ἐγκωμιάζειν τε καὶ ἐπαινεῖν ἔτυχε γράψας, οἷον (3,7) «τούτῳ (τῷ λόγῳ) -- τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν», καὶ (4,51) «ἵνα δὲ μὴ δοκῶ - - ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν, ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν», καὶ (4,82) «Ὁμοίως χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετάς, ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας», καὶ (4,186) «Ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς ὅλης τῆς Ἀσίας κρατήσαντας, καὶ (5,17) «μέλλω σοι λόγον πέμπειν οὐκ ἐγκωμιασόμενον τοὺς πολέμους τοὺς διὰ σοῦ γεγενημένους», καὶ (5, 153) «Νομίζω δὲ χρῆναί σε - - μάλιστα νομίζειν ἐκείνους ἐγκωμιάζειν. τοὺς μειζόνων ἔργων ἢ τηλικούτων τὴν σὴν φύσιν ἀξιοῦντας», καὶ (7,36) «τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δ' αἰτίας οὐ φράζω», καὶ (9, 5) «εἰ χρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους», καὶ (9,6) «ὅταν - - αὐτὸν προειδῇ - - μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον», καὶ (9,8) «Χαλεπόν ἐστιν ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν», καὶ (10,12) «Τῶν μὲν γὰρ τοὺς βομβολιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησε», καὶ (10,14) «φησὶ γὰρ ἐγκώμιον γεγραφέναι περὶ αὐτῆς τῆς Ἑλένης», καὶ (10,69) «οὐκ ἀπορήσουσιν ἀφορμῆς, ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων ἕξουσιν ἐπαινεῖν», καὶ (11,5) «ὥσπερ ἐγκωμιάσαι (Σωκράτην βουλόμενος Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητήν». Τοιαῦτα δ' ἔτ' ἰχνεύων πόλλ' ἂν εὕροις (10,6.6.44.12,35.36.37.38.39.79.81.86.135.184. 184.200.236.237.239.240.253.261.15,8.).

Τῶν λόγων δ' αὐτοῦ ἐγκώμια ἢ ἔπαινοι δοκοῦσιν εἶναι τοῦ τε Νικοκλέους τὸ πρῶτον, τήν τε πολιτείαν καὶ αὐτὸν ἐπαινοῦν, καὶ ὁ Πανηγυρικὸς συμβουλευτικὸς μὲν ὤν, ἀλλὰ καὶ ἐγκώμιον Ἀθηναίων πρὸς Λακεδαιμονίους ἐπιτιμωμένους παραβαλλομένων, καὶ τὸ

ὑπὲρ τῆς παλαιᾶς Ἀθηναίων πολιτείας μέρος τοῦ Ἀρεοπαγιτικοῦ καὶ ὁ Εὐαγόρας, καὶ παραίνεσιν ἐπὶ τῇ τελευτῇ πρὸς Νικοκλέα, ἔχων, καὶ ἡ Ἑλένη, ἧς τὰ πρῶτα κατηγορία τῶν ἀντιτέχνων οὖσα σοφιστῶν τυγχάνει, καὶ ἄλλου του ἐγκώμιον Ἑλένης γεγραφότος, καὶ ὁ Βούσιρις, καὶ ἀπολογία ἅμα ὤν, καὶ ὁ Παναθηναϊκὸς ἐπαινῶν τοὺς Ἀθηναίους παρὰ τοὺς Λακεδαιμονίους κατηγορουμένους, προειρημένης καὶ ἀπολογίας πρὸς τοὺς φθονοῦντας αὐτῷ τῶν πολλῶν καὶ τοὺς διαβάλλοντας τῶν σοφιστῶν.

Κατηγορία δ' ὡς τὸ ὅλον εἰπεῖν, καὶ οὐχ ἡ ἐν δικαστηρίοις μόνον, παρ' Ἰσοκράτει δοκεῖ εἶναι λόγος ἐπὶ βλάβῃ λοιδοροῦντος καὶ ἐλάττω μέν τινι τῶν ὑπαρχόντων ἀγαθῶν προσόντ' ἀποφαίνοντος, πλείω δὲ κακὰ καὶ μείζω τῶν ὄντων· ἔτυχε γὰρ γεγραφὼς ἐν μὲν τῷ Πανηγυρικῷ (130) «χρὴ δὲ κατηγορεῖν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας», καὶ (8) «Οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν ὥσθ' οἷόν τ' εἶναι-- τά τε μεγάλα (ἀγαθὰ ἢ κακὰ) ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς (ἀγαθοῖς ἢ κακοῖς) μέγεθος περιθεῖναι», ἐν δὲ τῷ Βουσίριδι (4) «δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς ἀποφαίνειν, τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτοις ποιεῖν». Πολλαχοῦ δ' ηὕρηται ὁμοίως κεχρημένος τῇ τε κατηγορίᾳ τῷ ὀνόματι καὶ τῷ κατηγορεῖν· εἶπε δ' ἔστιν ὅπου τοιοῦτον καὶ τὸν ψόγον καὶ τὸ ψέγειν, οἷον (15,147) «ἐκ τούτων πολλαὶ κατηγορίαι κατὰ ταύτης (τῆς πόλεως) γεγόνασιν», καὶ (7,76) «εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων -- κατηγορία τῶν τὰς εὐγενείας ταῖς αὑτῶν ῥᾳθυμίαις καὶ κακίαις καταισχυνόντων», καὶ (11,4) «αἰσθόμενος οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπὶ τῇ Σωκράτους κατηγορίᾳ», καὶ (11,5) «Σωκράτους κατηγορεῖν ἐπιχειρήσας», καὶ (11,6) «ὁ μὲν ἄν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς κατηγορίας, ὅσην οὐδενὶ τῶν ἐπαινεῖν εἰθισμένων», καὶ (12,54) «ὧν (τῶν δεκάρχων) ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνους ἡμαρτημένων», καὶ (12,239) «μὴ δόξῃς -- τούτους νῦν ψέγειν, οὓς πρότερον ἐπῄνεις», καὶ (240) «λόγους ἀμφιβόλους καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ ψεγόντων ὄντας» ὅθεν ἄν τι ἴδοι καὶ ἀμφιβόλους τινὰς λόγους Ἰσοκράτει ὄντας· καὶ (250) «ὡς κατηγορίαν γεγραφότα κατ' αὐτῶν», καὶ (13,14) «εἰ δὲ δεῖ μὴ μό-

νον κατηγορεῖν τῶν ἄλλων». Ἔστι δὲ καὶ ἄλλα τοιαῦτ' αὐτῷ εἰρημένα (15,18. 22.32 κ. ἀ.)

Τῶν δὲ λόγων αὐτοῦ τῶν οὐ δικανικῶν κατηγορία ἔοικεν εἶναι ὅ τε κατὰ Σοφιστῶν καὶ ἐπίδειξιν ἔχων τῆς περὶ παιδεύσεως αὐτοῦ διανοίας καὶ ὁ Βούσιρις νουθέτησις εἶναι δοκῶν Πολυκράτους καὶ ἐπίδειξιν ἅμα ἔχων ἀπολογίας Βουσίριδος καὶ τὸ κατὰ Λακεδαιμονίων μὲν μέρος τοῦ τε Πανηγυρικοῦ καὶ τοῦ Παναθηναϊκοῦ, τὸ κατὰ σοφιστῶν δὲ τῆς Ἑλένης.

Ἀπολογία μέν ἐστι λόγος κατηγοριῶν ἀπολύων· διακρίνων δὲ ταύτην τῶν ἐπαίνων ὁμογενῶν ὄντων λόγων ἐν τῇ Ἑλένῃ ποῦ εἶπεν (15) « Ἀπολογεῖσθαι μὲν προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας ». Τὴν δ' ἀπολογίαν καὶ τὸ ἀπολογεῖσθαι οὐχ ἅπαξ τοιαῦτα γεγραφὼς εὑρίσκεται, οἷον (10,15) « φησὶ μὲν ἐγκώμιον γεγραφέναι - -, τυγχάνει δ' ἀπολογίαν εἰρηκὼς », καὶ (11,4) « μεγαλαυχούμενον ἐπὶ τῇ Βουσίριδος ἀπολογίᾳ », καὶ (11,5) « ὑπὲρ Βουσίριδος ἀπολογήσασθαι φάσκων - - τηλικαύτην αὐτῷ παρανομίαν προσῆψας », καὶ (11,9) « ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὐδὲ σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι », καὶ (11,44) « Πολλῶν δ' ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν », καὶ (αὐτ.) « τόν γε λόγον - - οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος, ἀλλ' ὁμολογίαν τῶν ἐπικαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν », καὶ (11,46) « αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας ». Εὕροιμεν δ' ἂν καὶ ἄλλα τοιαῦτα (11,48.48.15,8.32.179 κ. ἀ.).

Ἀπολογίαν δὲ τυγχάνει γεγραφὼς τόν τε Βούσιριν ἐπίδειξιν ποιούμενος, καὶ ἔπαινον ἅμα ὄντα καὶ νουθέτησιν ἔτι ἢ μᾶλλον κατηγορίαν Πολυκράτους, καὶ τὴν Ἀντίδοσιν, λόγον ἀπολογίας σχῆμα ἔχοντα (8), ἐν ᾧ ἐπιχειρεῖ δηλοῦν (6) καὶ τὸν τρόπον, ὃν ἔχει, καὶ τὸν βίον, ὃν ζῇ, καὶ τὴν παιδείαν, περὶ ἣν διατρίβει. Ἀπολογία δέ τίς ἐστιν αὐτῷ καὶ τὰ ἐν τῷ Παναθηναϊκῷ τὰ μέχρι τῆς πέμπτης καὶ εἰκοστῆς παραγράφου ὑπὲρ ἑαυτοῦ προειρημένα ἔτι δὲ ἀπολογία ἢ ἔπαινος καὶ τὰ ὑπὲρ Τιμοθέου ἐν τῇ Ἀντιδόσει (107 κ. ἑξ.).

Τὴν μὲν **νουθέτησιν** ἢ **ἐπίπληξιν** ἢ **ἐπιτίμησιν**, ὡς γ' ἔμ' εἰδέναι, Ἰσοκράτης οὐκ ἔτυχεν εἰπών, ἀλλὰ λόγους ἐπιπλήττον-

τας καὶ νουθετοῦντας, (12,271) «Σπουδαιοτέρους (λόγους) καὶ φιλοσοφικωτέρους εἶναι νομίζοντας -- τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων». Ὁριζόμενος δὲ τὸ νουθετεῖν πρὸς τὸ κατηγορεῖν καὶ τούτου διακρίνων λέγει που (4,130) «Χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας, νουθετεῖν δὲ τοὺς ἐπ' ὠφελείᾳ τοιαῦτα πράττοντας», καὶ (5,72) «προσήκει τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν; τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας ἐπαινεῖν»· ὥστε λόγος νουθετῶν ἂν εἴη ὁ ἐπ' εὐνοίᾳ καὶ ὠφελείᾳ λοιδορῶν. Τῷ δὲ νουθετεῖν τε καὶ ἐπιπλήττειν καὶ ἐπιτιμᾶν συνωνύμοις οὐχ ἅπαξ κεχρημένοις ἐν τοῖς λόγοις φαίνεται, οἷον (2,28) «Πιστοὺς ἡγοῦ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας», καὶ (4,11) «τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι», καὶ (4,102) «εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν». καὶ (10,7) «Τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον ἐπιτιμᾶν», καὶ (10,14) «ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις», καὶ (11,30) «εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτιμᾶν», καὶ (11,50) «μὴ θαυμάσῃς εἰ νεώτερος ὢν -- ἐπιχειρῶ σε νουθετεῖν»; καὶ (13,9) «Καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένους ἄξιον ἐπιτιμῆσαι», καὶ (13,19) «οὓς (τοὺς τὰς τέχνας γράψαι τολμήσαντας) οὐκ ἀφετέον ἀνεπιτιμήτους», καὶ (5,18) «ἐτόλμησαν ἐπιπλῆξαί μοι», καὶ (5,22) «Τοὺς ἐπιπλῆξαί μοι τολμήσαντας», καὶ (11,34) «οὐδεὶς ἂν αὐτῷ (τῷ λόγῳ) ἐπιπλήξειεν», καὶ (15,65) «τοῖς ἁμαρτανομένοις ἐπιπλήττω», καὶ (7,46) «ἡ δὲ (βουλὴ) τοὺς μὲν ἐνουθέτει», καὶ (8,61) «εἰ δὲ δή τις προσομολογήσειε προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ' εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας -- καὶ συμβουλεύειν», καὶ (8,72) « Ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς λόγοις χρῆσθαι παραπλησίοις».

Λόγοι δὲ νουθετοῦντες ἢ ἐπιπλήττοντες ἂν εἶεν Ἰσοκράτους ὅ τε Βούσιρις, νουθέτησιν ἔχων Πολυκράτους καὶ ἐπίδειξιν ἅμα ἐπαίνου ἢ ἀπολογίας Βουσίριδος, καὶ ἔνια τῆς κατὰ Σοφιστῶν κατηγορίας καὶ τοῦ περὶ Εἰρήνης καὶ τοῦ Ἀρεοπαγιτικοῦ.

Δικανικοὶ λόγοι

7. Τοὺς λόγους τοὺς δικανικοὺς καὶ ἄλλους πολλοῖς ὀνόμασι φιλεῖ προσαγορεύειν λέγων λόγους πρὸς τοὺς ἀγῶνας ἢ ἁπλῶς ἀγῶνας καὶ δικογραφίαν καὶ λόγους περὶ τῶν ἰδίων συμβολαίων ἢ ὑπὲρ τῶν ἰδίων συμβολαίων ἢ ἐπὶ τοῖς ἰδίοις συμβολαίοις ἢ τοὺς ἐν δικαστηρίῳ λεγομένους, οἷον (13,20) «οὐδὲν μᾶλλον πρὸς τοὺς δικανικοὺς λόγους ἢ πρὸς τοὺς ἄλλους ἅπαντας ὠφελεῖν δυναμένου», καὶ (4,11) «ὥστε τοὺς πρὸς ὑπερβολὴν πεποιημένους (λόγους) πρὸς τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν ἰδίων συμβολαίων σκοποῦσι», καὶ (15,1) «εἰ μὲν ἦν ὅμοιος ὁ λόγος -- τοῖς πρὸς τοὺς ἀγῶνας γιγνομένοις», καὶ (12,271) «τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων (λόγων)», καὶ (15,2) «ὡς ἔστι (ἡ ἐμὴ διατριβὴ) περὶ δικογραφίαν»· ὅ ἐστι περὶ γραφὴν δικανικῶν λόγων· καὶ (15,3) «Προῄρημαι λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,16) «γράφειν δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ὑμετέρων συμβολαίων», καὶ (15,42) «μηδὲ περὶ τοὺς λόγους ὄντα με δεινὸν τοὺς περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,228) «τῶν λόγων ἐπιθυμοῦντες τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων», καὶ (15,276) «οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις (τῶν λόγων) περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,4) «τοῖς ἐν δικαστηρίῳ λεγομένοις (λόγοις)».

Θαυμαστὸν δ' ὅτι πανταχοῦ τῶν λόγων τοὺς δικανικοὺς ἀτιμάζοντος λόγους καὶ οὐκ ἀξίους ἑαυτοῦ ἡγουμένου καὶ οὐδ' ὁπωτιοῦν περὶ αὐτοὺς πεπραγματεῦσθαι φάσκοντος, βλασφημεῖν δὲ καὶ διαβάλλειν τοὺς τἀναντία λέγοντας, κατηγοροῦντος δὲ πολλὰ πολλαχοῦ τῶν δικανικοὺς λόγους λεγόντων ἢ γραφόντων ἢ καὶ διδασκόντων, ὅμως αὐτοῦ λογογραφοῦντος καὶ δικανικοὶ λόγοι φέρονται, περὶ ὧν εἰκότα πάνυ ἀποφήνασθαι Διονύσιος ὁ Ἁλικαρνασεὺς δοκεῖ ἐν τῷ Ἰσοκράτει που εἰπὼν (18) «Πιστεύω λόγους τινὰς γεγράφθαι ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήριον, οὐ μέντοι πολλούς», ὧν τὰ τεκμήρι' ἂν ἴδοις ἐκεῖ μετιών (18). Εἰσὶ δὲ ὅ τε περὶ τοῦ Ζεύγους καὶ ὁ Τραπεζιτικὸς καὶ ὁ πρὸς Καλλίμαχον καὶ ὁ Αἰγινητικὸς καὶ ὁ κατὰ Λοχίτου καὶ ὁ πρὸς Εὐθύνουν, οἷς ἂν καὶ ἡ Ἀντίδοσις προσήκοι, οἷον δικανικὸς λόγος ὢν ἀπολογίας σχῆμα ἔχων.

Ζ΄. Τὸ τῶν λόγων ἢ τῆς ῥητορικῆς τέλος.

Ὅ τι οἱ λόγοι οἱ ῥητορικοὶ βούλονται ποιεῖν πολλάκις Ἰσοκράτης ἔτυχεν εἰπὼν ἄλλοτ' ἄλλα λέγων. Εἶπε μὲν γάρ που ἐν Νικοκλεῖ τὸ εὖ λέγειν σκοπὸν εἶναι τοῦ ῥήτορος (1) «διὰ τί τοὺς εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι ;», ἀλλαχοῦ δὲ τὸ πείθειν ἀλλήλους, (6) «Ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους», ἐν δὲ τῷ Φιλίππῳ τὸ ἡδεῖς τε ἅμα εἶναι τοὺς λόγους καὶ πιστούς, (27) «δι' ὧν (εὐρυθμιῶν καὶ ποικιλιῶν) τοὺς λόγους ἡδίους ἂν ἅμα καὶ πιστοτέρους ποιοῖεν», ἐν δὲ τῇ Ἀντιδόσει τὸ εὖ λέγεθαι τὸν λόγον, οὐ τὸ χαριέντως μόνον, (62) φανήσονταί τινες οἳ χαριέντως εἰρῆσθαι ταῦτα φήσουσι, τὸ γὰρ εὖ φθονήσουσιν εἰπεῖν», ἐν Βουσίριδι δὲ τὸ πείθειν, (47) «Ἆρ' οὖν χρὴ λόγους γράφειν, οἷς τοῦτο προσέσται μέγιστον ἀγαθόν, μηδένα πεῖσαι τῶν ἀκουόντων;», καὶ ἐν τῇ Ἀντιδόσει (72) «Ἐπιχειρῶ δὲ καὶ τοῦτο πείθειν αὐτὸν (Νικοκλέα)», καὶ (85) «τὴν πόλιν ὅλην πειρῶμαι πείθειν». καὶ (247) «τὴν μὲν Πειθὼ μίαν τῶν θεῶν νομίζουσιν εἶναι Ἀθηναῖοι), - - τοὺς δὲ τῆς δυνάμεως ἧς ἡ θεὸς ἔχει μετασχεῖν βουλομένους διαφθείρεσθαί φασιν», ἄλλοθι δὲ τὸ εὖ λέγειν τε καὶ τὸ πείθειν, (275) «βελτίους ἂν γίγνοιντο, εἰ πρὸς τὸ λέγειν εὖ φιλοτίμως διατεθεῖεν καὶ τοῦ πείθειν δύνασθαι τοὺς ἀκούοντας ἐρασθεῖεν», καὶ (278) «Τὸ λέγειν εὖ καὶ τὸ φρονεῖν παραγενήσεται τοῖς φιλοσόφοις καὶ φιλοτίμως πρὸς λόγους διακειμένους. Καὶ μὴν οὐδ' ὁ πείθειν βουλόμενος ἀμελήσει τῆς ἀρετῆς».

Κατὰ δὴ ταῦτα συμβαίνει τὴν ῥητορικὴν μὴ εἰς τὸ πείθειν μόνον ἀποβλέπειν, ἀλλὰ καὶ εἰς τὸ εὖ λέγειν, ὥσπερ Ἰσοκράτει δοκεῖ· καὶ εἰκότως. Τοῦτο γάρ τοι τῶν λόγων τά τε ἐγκώμια καὶ αἱ ἐπιδείξεις ἐοίκασι διώκειν. Οὐκ ἄρα Ἰσοκράτους ἐστὶν ὁ ὅρος «πειθοῦς δημιουργὸς ἡ ῥητορική», ὥσπερ ἐν τοῖς σῳζομένοις μορίοις τῆς λεγομένης αὐτοῦ τέχνης γέγραπται.

Η΄. Ὑποθέσεις τῶν λόγων,

Ὑπόθεσιν μὲν τοὔνομα τῇ κοινῇ τε καὶ συνήθει δυνάμει πολλὰ Ἰσοκράτης ἔτυχεν εἰπών, οἷον (2,7) «Εἰ μὲν οὖν ἔσται τὸ δῶρον

ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν», καὶ (5, 10) «χαλεπόν ἐστι περὶ τὴν αὐτὴν ὑπόθεσιν δύο λόγους ἀνεκτῶς εἰπεῖν», καὶ (5,83) «ὅτε ἔγραφον περὶ τὴν αὐτὴν ὑπόθεσιν ταύτην», καὶ (10,1) «Εἰσί τινες, οἳ μέγα φρονοῦσιν, ἣν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι», καὶ (15,58) «Τοιαύτην δὲ τὴν ὑπόθεσιν ποιησάμενος ἀποφαίνω τὴν πόλιν ἁπάντων τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην», καὶ (15,61) «ὥστε τοὺς πρότερον γράψαντας περὶ τὴν ὑπόθεσιν ταύτην ἅπαντας ἠφανικέναι», καὶ (15,88) «παντάπασι πόρρω γέγονα τῆς ὑποθέσεως».

Τόπον δ' οὐχ ἅπαξ ηὕρηται λέγων Ἰσοκράτης τὴν ὑπόθεσιν ἢ ὑποθέσεώς τι μόριον,, οἷον (5,109) «Ἐγὼ δ' ὁρῶ μὲν τόπον ἴδιον καὶ παντάπασιν ἀδιεξέργαστον--, ποθοῦντα δὲ τὸν ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι», καὶ (10,4) «ἔτι περὶ τὸν τόπον τοῦτον (περὶ ψευδεῖς ὑποθέσεις) διατρίβουσιν (οἱ σοφισταί)», καὶ (10,38) «ἵνα δὲ μὴ δοκῶ δι' ἀπορίαν περὶ τὸν αὐτὸν τόπον διατρίβειν», καὶ (15, 88) «λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο πλὴν -- ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον, ἐξ οὗπερ ἐνέπεσον εἰς τὴν περιττολογίαν ταύτην».

Καὶ **προκείμενα** δέ που αὐτῷ ἡ ὑπόθεσις εἴρηται εἰπόντι (6, 15) «οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν».

Περιβολὴ δὲ λόγου Ἰσοκράτει κεφάλαιον τοῦ λόγου δηλοῖ οὖσα ἡ διάνοια ἢ καὶ ὑπόθεσις. Ἵνα δὲ εἰδῇς, σκόπει μοι τὸ ἐν Φιλίππῳ (16) «ἡ μὲν οὖν περιβολὴ παντὸς τοῦ λόγου τοιαύτη τίς ἐστι», καὶ τὸ ἐν τῷ Παναθηναϊκῷ (244) «τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖ μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας».

Ποίας δέ τινας **δεῖ** τὰς τῶν λόγων **ὑποθέσεις** εἶναι πολλάκις Ἰσοκράτης ἔτυχεν εἰπών, ἐπιτιμῶν ταῖς κακαῖς καὶ ἀδοκίμοις. Ἴδοις δ' ἂν τοιαῦτα μετιὼν μάλιστα μὲν ἐν τῇ Ἑλένῃ (1--13), ἔνθ' ἂν ἀκούοις αὐτοῦ λέγοντος. (1) «Εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἣν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύο λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρεία καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι (Πλάτων)--ἄλλοι δὲ περὶ τὰς

ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφελούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας». (4) «Οὓς ἐχρῆν ἀφεμένους ταύτης τῆς τερθρείας -- τὴν ἀλήθειαν διώκειν καὶ περὶ τὰς πράξεις, ἐν αἷς πολιτευόμεθα, τοὺς συνόντας παιδεύειν -- ἐνθυμουμένους ὅτι πολὺ κρεῖττόν ἐστιν περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι». Τοιαῦτα δ' ἂν ἄλλα καὶ ἀλλαχοῦ ἀναγνοίης τοῦ λόγου τούτου (8—13), ἐξ ὧν πάντων ἂν μάθοις, ὅτι αἱ περὶ μεγάλων καὶ ἀληθῶν καὶ τῶν πολιτικῶν μάλιστα πραγμάτων ὑποθέσεις ἐπαινοῦνται ὑπὸ Ἰσοκράτους, αἱ δὲ περὶ σμικρῶν καὶ ψευδῶν ἀποδοκιμάζονται καὶ ψέγονται.

προφορᾶς, ὦ βέλτιστε Κόντος, οὔτι μαχήσομαι οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, μάταιον γὰρ καὶ ἀνήνυτον τὸ πρᾶγμα, καὶ οὐδὲν πλέον ποιήσομεν ζητοῦντες, ὁ δὲ φιλονικῶν ἐν τούτοις γέλωτα τοῖς εὖ φρονοῦσιν ὀφλήσει, ὅμως δ' οὔ σε κρύψω ὅτι μοι δοκεῖ ὁ Κλήμης τὸ ΑΙ καὶ τὸ Ε ὁμοίως προφέρεσθαι. Τεκμαίρομαι δὲ ἐκ τῶν σελ. 205 καὶ 206 γεγραμμένων «μυστικῶς ταύτῃ νοοῦσι τὸ ἔλαιον ἀφ' οὗ τὸ ἔλεος τὸ ἐφ' ἡμᾶς» καὶ μετ' ὀλίγα «ἔλαιον μὲν ὡς μαθητὴν ἠλεημένον». Ταῦτα δ' ἐστὶ μὲν ὑπό τι ἄτοπα καὶ καταγέλαστα, παντελῶς μαινομένου δ' ἂν ἦν τὸ τοιαῦτα γράφειν εἰ μὴ τὸ ἔλαιον καὶ τὸ ἔλεος οὕτω γ' ἀκοῦσαι ἦν ὁμοιότατα. Ἄξιον μνείας νομίζομεν τὸ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου κείμενον σελ. 312, 12 «ἡ δὲ ἐλαία διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει». Καλὸν δ' ἡμῖν φαίνεται νὰ ἐλεγχθῇ ἐνθάδε ἡ πλημμέλεια τοῦ ὑπὸ τοῦ Κούμα εἰρημένου ἐν τῷ Λεξικῷ Τόμ. Α', σελ. 338 «Ἔλεος — Εἰς τὸν Ἀριστοφ. Ὄρν ἀστεία παιδιὰ μὲ τὸ ἔλεος καὶ ἔλαιον». Ἐν τοῖς Ὄρνισι τοῦ Ἀριστοφάνους στίχ. 1589 λέγει ὁ οἰκέτης πρὸς τὸν Πεισθέταιρον «ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ». Οὗτος δ' ἀναφωνεῖ «καὶ μὴν τά γ' ὀρνίθεια λιπάρ' εἶναι πρέπει». Φανερὸν δὲ παντὶ μὴ λίαν περιέργῳ ὄντι ἀποβαίνει ὅτι ἄνευ παιδιᾶς ἐρρήθη τὸ ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ, ὡς τὸ ἐν ταῖς Νεφέλαις στίχ. 56 ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ. Γελοιότατον δ' εἶνε τὸ εἰς τὸ χωρίον τῶν Ὀρνίθων φερόμενον σχόλιον. «Ἔλαιον οὐκ ἔνεστιν: ἀντὶ τοῦ οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα». Παράδοξον ἡμῖν προσπίπτει ὅτι ἡ ἄτοπος αὕτη γνώμη ἔτυχεν ἀποδοχῆς ὑπὸ τοῦ Βαλκεναρίου. Τάδε γράφει ὁ ἐπιφανὴς κριτικὸς ἐν τοῖς Ὑπομνήμασι τοῖς εἰς τὴν πρὸς Ῥωμαίους Ἐπιστολὴν (*Select. e Scholis Valckenarii in Libr. quosdam Nov. Test.* Τόμ. Β', σελ. 452). «De homine duro et intractabili proverbium frequentabant Graeci Ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ. quod explicant Grammatici οὐκ ἐλεοῦμεν, *non sumus misericordes*».

Ἐποιήσατο δὲ χρῆσιν τοῦ οὐδετέρου ἔλεος καὶ τοῦ πληθυντικοῦ αὐτοῦ ἐλέη καὶ ὁ Ἐπιφάνιος Τόμ. Δ', 6', σελ. 38, 18 Δινδ. «ἐκείνοις μικρὸν ἔλεος ποίησον» καὶ σελ. 39, 16 «ταχὺ τὰ ἐλέη σου εἰς ἡμᾶς θεωρήσουσι». Ἀλλ' ἐν σελ. 38, 26 κεῖται «ἐπίβλεψον ἐπ' αὐτοὺς ἐν ἐλέοις καὶ οἰκτιρμοῖς σου».

Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Φωτίου ἐν ταῖς Ἐπιστολαῖς σελ. 248 Βαλ. «ἐλέους πηγή» καὶ σελ. 285 «τὰς τῆς συμπαθείας πηγὰς καὶ τοῦ ἐλέους ἀναβλύζων» καὶ ὑπὸ τοῦ Εὐστρατίου Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. Κ΄, σελ. 92,21 «τίς ἂν εὐδαιμονίσοι ἐλέους παθόντα καὶ θρήνων ἄξια;» καὶ ὑπὸ τοῦ Τζέτζου Ἱστορ. Χιλ. Ζ΄. 275 (σελ. 250 Κισλ.) «ὡς οὐδαμοῦ παρά τινος ἐλέους ἠξιοῦτο» καὶ Θ΄, 735 (σελ. 352) «ἀξιωθεὶς ἐλέους τε καὶ οἰκτιρμῶν Αἰόλῳ» καὶ ὑπὸ Γεωργίου τοῦ Παχυμέρη (Παχυμέρους) Τόμ. Α΄, σελ. 70,17 «ἐπιμετρουμένου τοῦ ἐλέους πλείστοις ἡμιόνων σάγμασιν· ἀλλ' ἐπιμετρεῖται τῷ ἐλέει τὸ τοῦ θεοῦ ἔλεος, καὶ ῥαΐζει τῆς νόσου ὁ ἀσθενῶν καὶ ἐπιγάνυται, ὡς εἰκός, τῷ ἐλέει» (ἀλλὰ στίχ. 21 ἐλέου) καὶ ὑπὸ Θεοδοσίου τοῦ Σκυθοπόλεως Πατρολ. Ἑλλην. Τόμ. ΠϚ΄, α΄, σελ. 232 β΄ «ἐλέει θεοῦ». Συχνότερον δ' ὅμως εἶνε τὸ ἐλέῳ θεοῦ, οἷον «Μαριανὸς ἐλέῳ θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης», κτλ. Γενικὴ πληθυντικὴ ἐλεῶν φέρεται ἐν τῷ Βίῳ Ἐφραὶμ τοῦ Σύρου Ϛ΄ «προφάσεως συμβάσης ἐλεῶν ἔν τινι πόλει».

Ἐν ῥήσει τοῦ Κέλσου παρ' Ὠριγένει Τόμ. ΙΘ΄, σελ 82 εἶνε γεγραμμένον «οἵαν δὴ καὶ Παπίσκου τινὸς καὶ Ἰάσονος ἀντιλογίαν ἔγνων οὐ γέλωτος ἀλλὰ μᾶλλον ἐλέους καὶ μίσους ἀξίαν». Πρβ. καὶ σελ. 83 «οὐκ οἶδα δ' ὅπως τὰ ἄμικτα και οὐ πεφυκότα ἅμα συμβαίνειν ἀνθρωπίνῃ φύσει συναγαγὼν εἶπε τὸ βιβλίον ἐκεῖνο ἐλέους καὶ μίσους ἄξιον εἶναι».

Ἀλλ', ὡς καὶ ἐν τοῖς ἄνω εἴπομεν, οὐδεὶς τῶν ἐνδόξων Ἑλλήνων οὐδέποτε τοῦ οὐδετέρως λεγομένου ὀνόματος ἔλεος, ἐλέους, κτλ. χρῆσιν ἐποιήσατο, μόνου τοῦ ἀρσενικοῦ ἐν τῇ γλώσσῃ αὐτῶν φερομένου.

Ὁ Σουΐδας διαστέλλων τα κατὰ τὸν τόνον μόνον διαφέροντα ἀρσενικὰ ὀνόματα ἔλεος καὶ ἐλεός γράφει «Ἔλεος ἀρσενικῶς ἡ ἐλεημοσύνη, ἐλεός δὲ ὀξυτόνως ἡ μαγειρικὴ τράπεζα. Ἀριστοφάνης· ἴθι δὴ κάθελ' αὐτοῦ τοὐλεόν· τουτέστι τὸ μαγειρικὸν τραπέζιον». Οὐδαμῶς νῦν ἐξετάζομεν ἂν ἐν τῇ τῶν παλαιῶν Ἑλλήνων γλώσσῃ ὑπῆρχεν ἀρσενικὸν ὄνομα ἐλεός, παρατηροῦμεν δὲ μόνον ὅτι τὸ ὑπὸ τοῦ Σουΐδα ἐκ τοῦ Ἀριστοφάνους μνημονευθὲν τοὐλεόν εἶνε προφανῶς οὐδετέρου γένους (=τὸ ἐλεόν), οὐχὶ ἀρσενικοῦ. Ἡ παρὰ τῷ Ἀριστοφάνει χρῆσις τοῦ οὐδετέρου ἐλεόν ἠξιώθη μνείας ὑπὸ τοῦ

Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 749,5 λέγοντος «ὁ δὲ ἐλεὸς γίνεται μὲν ἀπὸ τοῦ ἕλος ἕλεος, εὕρηται δὲ καὶ οὐδέτερον, ὡς δηλοῖ τὸ κάθελε τοὔλεόν παρὰ τῷ κωμικῷ». Τὴν ῥῆσιν τοῦ Σουίδα ἀναγινώσκοντες ἀνεμνήσθημεν τοῦ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου γεγραμμένου ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 612 «Θύμος (ὁ) — [ἴσως καὶ τὸ] Ταὐτὸν θύμον φαγόντες, Ἀριστοφ.». Τὸ ταὐτὸν θύμον εἶνε ἀναμφιλόγως γένους οὐδετέρου συναλειφθὲν ἐκ τοῦ τὸ αὐτὸ θύμον· οὐδενὶ δ' ἄδηλον ὅτι ἐκ τῆς ὀνομαστικῆς ὁ αὐτὸς θύμος σχηματίζεται αἰτιατικὴ τὸΝ αὐτὸν θύμον. Ἀλλ' ἐπὶ τὸ προκείμενον.

Πρῶτον μαρτύριον τῆς δοκίμου ἐκφορᾶς παρατιθέμεθα τὸ Ὁμηρικὸν (Ἰλ. Ω,44) «ὡς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Εὐριπίδῃ τὶς ἔλεος (Ὀρέστ. 333 καὶ 832) καὶ ἔλεος ἔλεος ὅδ' ἔρχεται (Ὀρέστ. 968) καὶ ἐν ἀποσπάσματι τοῦ Ἀντιφάνους τὸ μὲν γὰρ ἔλεον—φέρει (παρὰ Στοβ. Ἀνθολ. ϞΖ', 1) καὶ ἐν ἀποσπάσματι τοῦ Φιλιππίδου ἔλεος ἐμπέπτωκέ τίς μοι (παρ' Ἀθην. σελ. 230, Α'). Ἄξιον μνείας εἶνε τὸ τοῦ Τιμοκλέους ἀπόσπασμα (παρὰ Στοβ. Ἀνθολ. ΡΚΕ', 10):

τοῖς μὲν τεθνεῶσιν ἔλεος (Ἔλεος) ἐπιεικὴς θεός,
τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατον (-τος) φθόνος.

Τὸ ἕτερον εἶνε πάντως ἡμαρτημένον, πολλοὶ δ' ἐπεχείρησαν νὰ ἐπανορθώσωσιν αὐτό. Καὶ ὁ μὲν Ἄλμιος εἴκασε «τοῖς ζῶσι δ' ἑταῖρος ἀνοσιώτατος», ὁ δ' Ἐμπέριος «τοῖς ζῶσι δὲ τέρας ἀνοσιώτατον», ὁ δὲ Μεινέκιος «τοῖς ζῶσι δ' ἔφεδρος ἀνοσιώτατος» (Ἴδε τὴν ὑπ' αὐτοῦ γενομένην συναγωγὴν τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Κωμικῶν Τόμ. Ε', σελ. σκε' καὶ σελ 96). Ὁ Ἐρουερδὴν μετέγραψεν ἐν Μνημοσ. 1878, σελ. 76 «τοῖς ζῶσι δ' ἔργων ἀνοσιώτατος φθόνος», ὁ δὲ Φ. Σμιδίτιος ἐν *Krit. Stud. zu den Griech. Dram.* Τόμ. Γ', σελ. 57 «τοῖς ζῶσι δῶρον δ' ἀνοσιώτατον φθόνος», ὁ δὲ Κόκκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τομ. Β', σελ. 464, 31 «τοῖς ζῶσι δ' ἐχθρὸς ἀνοσιώτατος» (Πρβ. καὶ Βλαϋδέσιον ἐν *Adversar. in Com. Graec. Fragm.* Μέρ. Α', σελ. 128).

Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Θουκυδίδου ἔλεος — δίκαιος ἀντιδίδοσθαι (βιβλ. Γ', 40) καὶ ὑπὸ τοῦ Ἀντιφῶντος εἰς τὸν ὑμέτε-

ρον ἔλεον (σελ. 121, § 2 καὶ σελ. 122, § 3) καὶ ὑπὸ τοῦ Ἰσαίου ἐμοὶ μέν τινα φθόνον γενήσεσθαι—τοῖς δὲ παισὶν ἔλεον (σελ. 87, § 38) καὶ ὑπὸ τοῦ Δημοσθένους μήτε συγγνώμην μήτ' ἔλεον καὶ ἔλεον, συγγνώμην, φιλανθρωπίαν (σελ. 431, § 281 καὶ σελ. 794, § 81) καὶ φθόνον ἐξ ὧν ζῇς καὶ ἐφ' οἷς ἀπατᾷς ἔλεον καὶ οὐκ ἔστιν οὐδαμόθεν σοι προσήκων ἔλεος (σελ. 577, § 196) καὶ τὸν ἔλεον τοῦτον ἐπὶ τῷ πλήθει τῷ ὑμετέρῳ μὴ ποιήσασθαι (σελ. 734 § 111) καὶ ὑπὸ τοῦ Λυκούργου εἰς ἔλεον προαγαγέσθαι (152, 33) καὶ ὑπὸ τοῦ Δεινάρχου μηδ' ἔλεον εἰς ὑμᾶς λαμβάνοντες αὐτοὺς (110, 20).

Ἐγένετο δὲ καὶ τοῦ πληθυντικοῦ ἀριθμοῦ τοῦ ἀρσενικοῦ ὀνόματος χρῆσις ὑπὸ παλαιῶν συγγραφέων, οἷον ὑπὸ τοῦ Ψευδοδημοσθένους σελ. 794, § 83 «τίνος δὲ συγγνώμης ἢ ποίων ἐλέων οἱ σεσυκοφαντημένοι τετυχήκασι παρὰ τούτου;» καὶ ὑπὸ τοῦ Πλάτωνος Πολιτ. σελ. 606 γ' «ταὐτὸν ποιῶν ὅπερ ἐν τοῖς ἐλέοις» καὶ ὑπὸ τοῦ Δεινάρχου 104, 108 «τοῖς Δημοσθένους ἐλέοις» καὶ § 111 «ἀφέντες οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς κτέ.». Πρβ. καὶ Ἰάμβλ. περὶ τοῦ Πυθαγορ. Βίου § 64 «λύπας καὶ ὀργὰς καὶ ἐλέους καὶ ζήλους ἀτόπους καὶ φόβους».

Παραδείγματα τοῦ ἀρσενικοῦ ἔλεος παρέχει ἡμῖν καὶ ὁ Ἀριστοτέλης λέγων Τόμ. Α', σελ. 359, 25 Διδ. «ἐκκρουστικὸν τοῦ ἐλέου» καὶ σελ. 359, 45 «ἅπαντα γὰρ ταῦτα—μᾶλλον ποιεῖ τὸν ἔλεον» καὶ σελ. 360, 26 «κωλυτικὰ μὲν ἐλέου πάντα ταῦτά ἐστι» καὶ σελ. 461, 15 «δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν». Μνημονεύονται δ' ὑπὸ τοῦ Σταγιρίτου καὶ Ἔλεοι τοῦ Θρασυμάχου Τόμ. Α', σελ. 385, 49 «ἐγκεχειρήκασι δ' ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινες, οἷον Θρασύμαχος ἐν τοῖς Ἐλέοις» (Ἴδε Σπέγγελον ἐν Συναγωγῇ Τεχνῶν σελ. 97).

Φέρεται δὲ καὶ παρὰ τῷ Καλλιμάχῳ Ἐπιγρ. ΞΔ', 4 «ἐλέου δ' οὐδ' ὄναρ ἠντίασας», περὶ οὗ ἴδε Ὄθωνα Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α', σελ. 445 καὶ παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ Γ', 462 «δάκρυον αἰνοτάτῳ ἐλέῳ ῥέε» καὶ 761 «δάκρυ δ' ἀπ' ὀφθαλμῶν ἐλέῳ ῥέεν».

Κακῶς ἐν τῷ πρὸς Καλλίμαχον λόγῳ τοῦ Ἰσοκράτους § 39 εἶναι γεγραμμένον «καίτοι πῶς οὐκ ἄλογόν ἐστιν ἐν τούτῳ τῷ κινδύνῳ

ζητεῖν αὐτὸν ἐλέουΣ παρ' ὑμῶν τυγχάνειν, κτέ.; », ὅπερ βλέπει τις καὶ ἐν τῇ ὑπὸ τοῦ Κοραῆ γενομένῃ ἐκδόσει τοῦ ῥήτορος Τόμ. Α', σελ. 379. Ἐλέχθη μὲν ὑπὸ τοῦ Εὐσταθίου σελ. 1565, 5 « ἐθέλων καὶ φιληθῆναι καὶ ἐλέους τυχεῖν », ὡς ἐδηλώθη ἐν τοῖς ἄνω, καὶ ὑπὸ τοῦ γράψαντος τὸν Βίον τοῦ Ἐπιφανίου § 31 « ὁ λαὸς καὶ πᾶσα ἡ ἡλικία τοῦτον ἐξεδυσώπουν ἐλέους τυχεῖν δι' εὐχῆς αὐτοῦ », ἀλλὰ τῷ στόματι τοῦ Ἰσοκράτους ὅλως ἀνάρμοστος εἶνε ἡ μετὰ τοῦ Σ ἐκφορὰ ἐλέουΣ τυγχάνειν.

Οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι ἔγραψεν ὁ Ἰσοκράτης « ζητεῖν αὐτὸν ἐλέου παρ' ὑμῶν τυγχάνειν », ὡς ὁ Ἀντιφῶν σελ. 113, § 21 « ὃς ἄξιος καὶ ἐλέου [καὶ βοηθείας] καὶ τιμωρίας παρ' ὑμῶν τυχεῖν » καὶ σελ. 114, § 27 « μὴ τυχοῦσα μήτ' αἰδοῦς μήτ' ἐλέου μήτ' αἰσχύνης μηδεμιᾶς παρ' ὑμῶν » καὶ ὁ Ἰσαῖος σελ. 51, § 10 « οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οἰκειότητος ἐλέου παρ' αὐτοῦ ἔτυχον » καὶ ὁ Λυσίας σελ. 122, § 20 « οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν » καὶ ὁ Δημοσθένης σελ. 423, § 257 « ἵνα μήτ' ἐλέου μήτε συγγνώμης ἐφ' οἷς αὐτὸς ἠδίκηκε τύχῃ » καὶ σελ. 547, § 100 « οὐδεὶς γάρ ἐστι δίκαιος τυγχάνειν ἐλέου τῶν μηδένα ἐλεούντων οὐδὲ συγγνώμης τῶν ἀσυγγνωμόνων » καὶ σελ. 549, § 105 « τίνος συγγνώμης ἢ τίνος ἐλέου δικαίως τεύξεται παρ' ὑμῶν; » καὶ ὁ Δείναρχος σελ. 93, § 22 « ἦ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς τυγχάνειν τοιαῦτα διαπεπραγμένον ἀλλ' οὐ τῆς ἐσχάτης τιμωρίας κτέ.; » καὶ ὁ Ἀριστοτέλης Τόμ. Α', σελ. 362, 27 « δῆλον ὡς οὐ τεύξονται ἐλέου παρὰ τῶν κυρίων ».

Μεγάλως θαυμάζομεν ὅτι ἔν τε τῇ Βαιτηρείῳ ἐκδόσει τοῦ Ἰσοκράτους σελ. 265, 20 (1846) καὶ ἐν τῇ Βενσεληρείῳ Τόμ. Β', σελ. 214 (1857) κεῖται ἡ πλημμελῶς ἔχουσα γραφὴ « ἐλέους παρ' ὑμῶν τυγχάνειν », εἰ καὶ πολλοῖς ἔτεσι πρότερον ἐπηνώρθωσεν αὐτὴν ὁ Βεκκῆρος ἐν ᾗ ἐποιήσατο κρίσει τῆς ὑπὸ τοῦ Κοραῆ γενομένης ἐκδόσεως τοῦ Ἰσοκράτους. Οὐκ ἀγνοητέον δ' ὅτι καὶ παρὰ τῷ Ἀντιφῶντι σελ. 114 § 27 πρὸς τῇ ὑγιῶς ἐχούσῃ ἐκφορᾷ ἐλέου φέρεται καὶ ἡ πλημμελὴς ἐλέουΣ.

Σημειωτέον δ' ὅτι παρὰ τῷ Δημοσθένει σελ. 543, § 90 φέρεται κατὰ τἀντίγραφα « ἄτιμον Ἀθηναίων ἕνα εἶναι δεῖ καὶ μήτε συγ-

γνώμης μήτε λόγου μήτε ἐπιεικείας μηδεμιᾶς τυχεῖν». Ἀλλ' ἐν τῷ μετωπίῳ τοῦ ἀρίστου αὐτῶν κεῖται «γρ. ἐλέου». Αὕτη δ' εἶνε ἡ ἀληθὴς γραφή. Ὁ ῥήτωρ εἶπε «μήτ' ἐλέου μήτ' ἐπιεικείας μηδεμιᾶς τυχεῖν». Ἐν ἑτέρῳ χωρίῳ τοῦ Δημοσθένους σελ. 581, § 209 τὰ μὲν ἄλλα ἀντίγραφα ἔχουσι «τίνος συγγνώμης ἢ τίνος ἐλέου τυχεῖν ἂν οἴεσθε;», τὸ δ' ἄριστον «λόγου τυχεῖν», ὅπερ ἀπεδέξαντο ὅ τε Δινδόρφιος καὶ ὁ Βοιμέλιος κακῶς ποιοῦντες· εἶνε δ' ὑπ' αὐτῶν ἐγκεκριμένη καὶ ἐν τῷ ἑτέρῳ χωρίῳ τοῦ Δημοσθένους ἡ ἐσφαλμένη γραφή (Ἴδε Κόβητον ἐν *Miscel. Crit.* σελ. 508). Μετεβλήθη δ' ὑπὸ τοῦ Κοβήτου ἐν *Nov. Lect.* σελ. 360 καὶ τὸ παρὰ τῷ Ἀντιφῶντι σελ. 114, § 26 «πῶς οὖν ταύτην ἐλεεῖν ἄξιόν ἐστιν ἢ αἰδοῦς τυγχάνειν παρ' ὑμῶν ἢ ἄλλου του;» εἰς τὸ ἐλέου (Πρβ. καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τοῦ Σοφοκκλέους Τόμ. Α', σελ. 284). Συνηγορεῖ δ' ὅμως τῇ παραδεδομένῃ γραφῇ ὁ Γεβαυῆρος (ἐν τῷ *De Hypot. de Parat.* σελ. 20).

Ὡς δὲ λέγεται τυχεῖν ἐλέου, οὕτω καὶ ἀξιωθῆναι ἐλέου, οἷον παρὰ τῷ Λυκούργῳ σελ. 168, § 141 «τοῦ κοινοῦ παρὰ πᾶσιν ἐλέου οὐκ ἠξιώθησαν». Πρβ. τυγχάνειν ἀποδοχῆς — ἀξιοῦσθαι ἀποδοχῆς, κτλ. Ὁ Πολύβιος εἶπε βιβλ. Α', ϛ', 4 «τῆς γὰρ ἀρχῆς ἀγνοουμένης ἢ καὶ νὴ Δι' ἀμφισβητουμένης, οὐδὲ τῶν ἑξῆς οὐδὲν οἷόν τε παραδοχῆς· ἀξιωθῆναι καὶ πίστεως· ὅταν δὲ περὶ ταύτης ὁμολογουμένη παρασκευασθῇ δόξα, τότ' ἤδη καὶ πᾶς ὁ συνεχὴς λόγος ἀποδοχῆς τυγχάνει παρὰ τοῖς ἀκούουσιν».

Ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ Διονυσίου τοῦ Ἀλικαρνασσέως σελ. 2282 ἀπαντᾷ «ἵνα μήτε λόγου τύχῃ κρινόμενος μήτ' ἐλέουΣ». Ἀλλ' ἀδυνατοῦμεν νὰ πείσωμεν ἡμᾶς αὐτοὺς ὅτι τοῦ οὐδετέρου ὀνόματος χρῆσιν ὁ Διονύσιος ἐποιήσατο, ἀποφαινόμεθα δ' ὅτι ἐγράφη ὑπ' αὐτοῦ ἐλέου, ὡς ὑπὸ Διοδώρου τοῦ Σικελιώτου βιβλ. ΙΓ', κζ', 2 «καὶ κατ' ἰδίαν ἄν τις τοὺς αἰχμαλώτους ἐξετάζων εὕροι δικαίως ἐλέου τυγχάνοντας» καὶ 4 «τὸν δ' ὁμολογουμένως φιλανθρωπότατον Ἀθηναίων γεγενημένον μηδὲ τοῦ κοινοῦ τυχεῖν ἐλέου» καὶ ὑπὸ Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Β', σελ. 6 Λιψ «ἐλέου μᾶλλον ἢ μίσους τυγχάνοιεν ἄν». Κεῖται δὲ καὶ ἐν τῇ Ῥητορικῇ Τέχνῃ τοῦ Ἀψίνου σελ. 95, 16 Βακ. «ἀξιῶν ἐλέου τυχεῖν αὐτοὺς νῦν» καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Δ', σελ. 347, 18 «ὡς δὲ δυστυ-

χῆς ἐλέου τυχεῖν» καὶ ἐν τῇ ΝΑ' Ἐπιστολῇ τοῦ Λιβανίου «τὸ μὲν πεποίηκε καὶ τετύχηκεν ἐλέου» καὶ παρὰ τῷ Νεμεσίῳ σελ. 53 Ματθ. «ἐλέου δικαίου τυγχάνει», ἀλλ' ἐν σελ. 265 εἶνε γεγραμμένον «τὸ συγγνώμης ἢ ἐλέουΣ ἀξιοῦσθαι». Σημειωτέον δ' ὅτι ὁ Κισλίγγιος ἐν τῇ ἐκδόσει τῆς Ῥωμαϊκῆς Ἀρχαιολογίας Διονυσίου τοῦ Ἁλικαρνασσέως οὐχὶ ἀνεκτὸν παρ' αὐτῷ ὑπολαμβάνει τὸ ἐλέους λέγων ἐν Τόμ. Δ' σελ. κβ' «ἐλέου reponendum, cf. Grasberger Philol. XXVIII, p. 349». Πολλάκις δ' ὁ Διονύσιος ἐχρήσατο τῷ ἀρσενικῷ ὀνόματι ἔλεος ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ, οἷον σελ. 216 «εὐνοίᾳ τε τοῦ κινδυνεύοντος καὶ ἐλέῳ τῆς τύχης» καὶ σελ. 310 «ἔλεόν τε κοινῶν κακῶν οὐ μικρὸν ἔρανον εἶναι νομίζοντες» καὶ σελ. 596 «εἰς ἔλεον τοὺς Ῥωμαίους ὑπηγάγετο» καὶ σελ. 1087 «ἐπὶ τὸν ἔλεον τῶν ἀδικουμένων καταπεφεύγασιν» καὶ σελ. 1103 «γονέων τε αἰδῶ λαβεῖν οὐχ ἱκανῶν ἐσομένων ἑαυτοῖς διὰ γῆρας ἀμύνειν καὶ γυναικῶν ἔλεον» καὶ σελ. 1603 «παρ' ὧν οὔτ' ἐλέου μετέσχεν οὔτε συμπαθείας» καὶ σελ. 1612 «καὶ πολὺν ἐκίνησεν ἐκ τῶν παρόντων ἔλεον» καὶ σελ. 1699 «οὔτ' οἴκτῳ ἐνδοὺς τριῶν μὲν αὐτῷ παίδων μεγάλην παρεχόντων εἰς ἔλεον ἐπικουρίαν» καὶ σελ. 1701 «οὔτε φειδὼ τῶν παίδων οὔτ' ἔλεον ἔσχον» καὶ σελ. 1788 «ὅσα ἐπαγωγὰ ἦν εἰς ἔλεον» καὶ σελ. 1925 «ἔλεός τις παρέστη καὶ ἀνεκλάοντο αὐτῶν τὴν τύχην» (Πρβ. καὶ σελ. 872). Εἶπε δὲ καὶ ἐν τῷ Λυσίᾳ ΙΔ' «οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν» καὶ ἐν τῷ Ἰσοκράτει ΙΒ' «χαριεντισμὸς γὰρ πᾶς ἐν σπουδῇ καὶ κακοῖς γινόμενος ἄωρον πρᾶγμα καὶ πολεμιώτατον ἐλέῳ» καὶ ἐν τῷ περὶ Συνθέσ. Ὀνομάτων σελ. 250 Σχαιφ. «οὕτω γὰρ ἑκάστου τὸν ἔλεον ἐξέστησεν ἡ τοῦ τολμήσαντος ἀπόνοια».

Παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ βιβλ. Γ', ιη', 6 φέρεται διττὴ γραφή, «οὐδεμίαν ἔμφασιν ὀργῆς ἢ πάλιν ἐλέου διδόντες» καὶ ἐλέους Ὁ Λ. Δινδόρφιος γράφει ἐν τῇ ἐκδόσει τοῦ Διοδώρου Τόμ. Δ', σελ. 246 (1828) «Ἐλέου: Hoc verum est, quamvis ab ἐλέους stet etiam optimus liber Coisl. At ea forma nonnisi infimae aetati concedenda videtur. Nam Isocrati quidem Callimach. p. 479. B. ἐλέους recte arbitror exemisse Bekkerum censura ed. Coraes p. 287. nec minori iure Polybio I. 88. 2.

Librarii vel grammatici hoc vitium saepe inferunt, ut Antiphonti p. 114. Aeliano H. A. 3. 1. Aristot. Rhet. II. 8. inscr., coll. § 12. 16». Τὸ ἀρσενικὸν γένος κεῖται παρὰ τῷ Διοδώρῳ βιβλ. Η', ς', 3 «ἅμα μὲν ὁ τῆς συγγενείας ἔλεος ἑκάστῳ ὑπεδύετο πρὸ ὀφθαλμῶν λαμβάνοντι τὴν σφαγήν, ἅμα δὲ κτέ.» καὶ ΙΑ', λβ', 5 «δεόμενοι ζωγρεῖν οὐδενὸς ἐτύγχανον ἐλέου» καὶ νς', 5 «τὸν δὲ Θεμιστοκλέα διὰ τὸν ἔλεον σῶσαι βουλόμενος» καὶ ΙΒ', ιη', 4 «τοῦ δὲ δήμου διὰ τὸν ἔλεον ψηφισαμένου διορθῶσαι τὸν νόμον» καὶ κδ', 5 «ἅπαντας εἰς ἔλεον ἤγαγε καὶ πολλὴν συμπάθειαν» καὶ ΙΓ', κ', 5 «τῷ πρὸς τοὺς ἠτυχηκότας ἐλέῳ» καὶ κβ', 8 «τοῖς πολεμιωτάτοις μερίζουσι τὸν ἔλεον» καὶ κγ', 3 «ἕτοιμον ἔχειν τὸν παρὰ πάντων ἔλεον» καὶ 4 «εἰ τὸν πρὸς τοὺς ὑποπεπτωκότας ἔλεον ἀποκόψομεν» καὶ 5 «τίς ἧττονα τοῦ μὲν ὠμοῦ τὸν ἔλεον, τῆς δὲ προπετείας τὴν εὐλάβειαν ἔσχηκε;» καὶ κζ', 1 «διότι τὸν ἔλεον τοῖς τὴν πατρίδα κοινὸν παιδευτήριον παρεχομένοις» καὶ κθ', 3 καὶ 7 καὶ λα', 1 καὶ ΛΒ', ϛ', 3 «τῶν δὲ πρεσβευτῶν εἰς οἶκτον καὶ ἔλεον τραπέντων» καὶ ἀλλαχοῦ.

Ἐν ταῖς ἱστορίαις τοῦ Πολυβίου βιβλ. Α', πη', 2 ὀρθῶς μὲν εἶνε ἐκδεδομένον ὑπὸ τοῦ Λ. Δινδορφίου Τόμ. Α', σελ. 116,5 «διὰ τὸ μὴ καταλείπεσθαι σφίσι τόπον ἐλέου μηδὲ συγγνώμης κατὰ τὰς πρώτας ἐπιβολάς», πλημμελῶς δ' ὑπὸ τοῦ Οὐλσχίου, φυλάξαντος τὴν παραδεδομένην γραφήν, σελ. 102, 29 «διὰ τὸ μὴ καταλείπεσθαι σφίσι τόπον ἐλέουΣ» Πρβ. σελ. 42, 31 «ὁ γὰρ μικρῷ πρότερον οὐ διδοὺς ἔλεον οὐδὲ συγγνώμην τοῖς πταίουσι παρὰ πόδας αὐτὸς ἤγετο δεησόμενος τούτων περὶ τῆς ἑαυτοῦ σωτηρίας» καὶ σελ. 166, 15 «σπουδάζων δ' εἰς ἔλεον ἐκκαλεῖσθαι τοὺς ἀναγινώσκοντας καὶ συμπαθεῖς ποιεῖν τοῖς λεγομένοις» καὶ σελ. 169, 23 «οὐκ ἔλεον εἰκὸς ἦν συνεξακολουθεῖν αὐτοῖς παρὰ τῶν Ἑλλήνων» καὶ σελ. 599, 18 «ὥστ' οὔτε τὸν τῶν οἰκείων ἔλεον οὔτε τὰς ἐκ τῶν ἀνδρῶν ἐσομένας χρείας ἐποιήσαντο περὶ πλείονος» καὶ σελ. 621,9 «τό γε μὴν συμβὰν ἔλεον μὲν τῷ παθόντι καὶ συγγνώμην ἀπειργάσατο παρὰ τοῖς ἐκτός, διαβολὴν δὲ καὶ μῖσος τοῖς πράξασι».

Ἐπαινοῦμεν τὸν Κούρτ. Οὐαξμουθιον ἀποκαταστήσαντα ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου Τόμ. Β', σελ. 92, 12 τὸν δόκιμον τύπον «ἔλεοΝ δὲ λύπην ἐπὶ τῷ δοκοῦντι ἀναξίως κακοπαθεῖν» ἀντὶ τοῦ

φερομένου ἐν τοῖς ἀντιγράφοις ἔλεοΣ. Ἐγένετο δὲ καὶ ἐν τοῖς ἑξῆς χρῆσις τοῦ ἀρσενικοῦ ὀνόματος (σελ. 92, 19) «οἷον ἔλεοΝ, φθόνον, ἐπιχαιρεκακίαν, αἰσχύνην». Πρβ. Διογέν. Λαέρτ. Ζ΄, 111 «Καὶ τὴν μὲν λύπην εἶναι συστολὴν ἄλογον, εἴδη δ' αὐτῆς ἔλεον, φθόνον, ζῆλον — Ἔλεον μὲν οὖν εἶναι λύπην ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι κτέ.».

Ἐν τοῖς τοῦ Ψευδοφωκυλίδου στίχ. 21 πρὸς τῇ γραφῇ «πληρώσας σέο χεῖρ' ἔλεΟΝ χρήζοντι παράσχου» ὑπάρχει καὶ ἐλέΟΥΣ. Ὁ Βέργκιος Ποιητ. Λυρ. Τόμ. Β΄, σελ. 85 ἐκδ. δ΄ εἴκασεν «ἐλέΟΥ χρήζοντι».

Καὶ ὁ Πλούταρχος ποιεῖται χρῆσιν τοῦ ἀρσενικοῦ γένους τοῦ προκειμένου ὀνόματος καὶ ὁ Λουκιανὸς καὶ ὁ Αἰλιανὸς καὶ Φίλων ὁ Ἰουδαῖος καὶ ὁ Ἰώσηπος καὶ ἄλλοι μεταγενέστεροι οὐκ ὀλίγοι.

Πλούτ. Ἠθικ. σελ. 598, Γ΄ «ὁ παρ' αὐτῶν ἔλεος» καὶ Αἰμιλ. Παύλ. ΛΑ΄, 4 «τῷ πρὸς ἐκεῖνον ἐλέῳ» καὶ Δημητρ. Ν΄, 2 «εἰς φθόνον μετέβαλε τὸν ἔλεον» καὶ ἀλλαχοῦ. Ἐν τοῖς τοῦ Ψευδοπλουτάρχου Ἠθικ. σελ. 313, Ε΄ εἶνε εἰρημένον «ἐλέουΣ ἔτυχε παρὰ Πέλοπος διὰ τὸν ἔρωτα».

Λουκιαν. Θε. Διαλ. ΙΓ΄, 1 «νῦν δὲ κατ' ἔλεον αὖθις ἀθανασίας μετείληφας;».

Αἰλιαν. περὶ Ζῴ. ΙΔ΄, 18 «οἴκτῳ δὲ ἄρα τῆς φύσεως καὶ ἐλέῳ ἐς τοὺς ἵππους δρᾶται τοῦτο».

Φίλ. Ἰουδ. Τόμ. Β΄, σελ. 81 «ἵνα τὸν σωτήριον ἔλεον ἀνακεράσηται τῇ κατὰ ἁμαρτανόντων κρίσει» καὶ «εἰ γὰρ βουληθείη ὁ θεὸς δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου» καὶ σελ. 82 «τὸν ἔλεον ἀνακίρνησιν» καὶ «πρεσβύτερος γὰρ δίκης ὁ ἔλεος παρ' αὐτῷ ἐστιν» καὶ Τόμ. Γ΄, σελ. 26 «δι' ἔλεον τοῦ γένους ἡμῶν» καὶ Τόμ. Δ΄, σελ. 122 «τὸν ἀπὸ τῶν οἰκητόρων ἔλεον» καὶ σελ. 231 «τιμωρίαν ἐργασάμενον πρὸ ἐλέου» καὶ Τόμ. Ϛ΄, σελ. 242 «πενία καθ' ἑαυτὴν μὲν ἐλέου χρήζει». Παρατηρητέον δ' ὅτι ἐν Τόμ. Δ΄, σελ. 232 ἀπαντᾷ «τῇ μὲν γὰρ ἐταλάντευε τὸ ἔλεος καὶ τὰ δίκαια, τῇ δ' ἀντέβριθεν ὁ νόμος», ἀλλ' ἐν τῇ νέᾳ ἐκδόσει τοῦ Φίλωνος Τόμ. Ι΄, σελ. 253, 17 (1902) ἐγράφη μὲν ὁ ἔλεος, ἐσημειώθη δὲ «ὁ λεος F, τὸ ἔλεος A (v), ἔλεος (om. ὁ) ceteri». Μανθάνομεν δ' ἐκ

τῆς ἐκδόσεως ταύτης Τόμ. Β', σελ. 73 ὅτι ἐν τῷ χωρίῳ «δικάσαι τῷ θνητῷ γένει χωρὶς ἐλέου» φέρεται καὶ γραφὴ ἐλέουΣ

Ἰώσηπ. Τόμ. Α', σελ. 272, 11 Νισ. «ἐξ ἐλέου καὶ προνοίας τοῦ θεοῦ» καὶ σελ. 278, 22 «φύσει τοῦ θεοῦ τοῖς πενομένοις ἔλεον νεμοντος» καὶ σελ. 297, 8 «μήτ' ἐλέῳ παραχωρήσαντας» καὶ Τόμ. Β', σελ. 374, 14 «εὐχαριστήσας δὲ τῷ θεῷ μετ' αὐτῶν ἔλεον λαβόντι» καὶ Τόμ. Γ', σελ. 46, 4 «μηδ' ἐλέῳ πλέον ἢ τοῖς ἐπεσταλμένοις πεισθέντας παρακοῦσαι τῶν γεγραμμένων» καὶ σελ. 272, 8 «ἔλεον θηρωμένου παρ' ὑμῶν» καὶ Τόμ. Δ', σελ. 62, 8 «ἀλλ' ἐγκεκλεισμένοι τὸν ἔλεον ὀδυνηρῶς μέν, ἀναύδως δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἔφερον» καὶ σελ. 63, 14 «ἔλεον μὲν τῶν ἀτυχούντων, μῖσος δὲ τῶν ταῦτα διαπραττομένων ἐσχήκασιν» καὶ σελ. 72, 11 «ὁ βασιλεὺς ἐλέῳ τῶν ὀρφανῶν εἰς εὔνοιαν αὐτῶν διὰ τὴν ἐπιγαμίαν τὸν Ἀντίπατρον προκαλούμενος» καὶ σελ. 209, 5 «πλὴν εἴ τινες ἐλέῳ φίλων ἢ γειτόνων ἐπιχωρηθὲν αὐτοῖς ἔφυγον» καὶ σελ. 235, 1 «λογισμῷ τε ἀξιώσεως τῶν ἀνδρῶν καὶ ἐλέῳ τοῦ πάθους» καὶ σελ. 318, 19 «ἦν γὰρ ἄτεγκτος μὲν πρὸς ἔλεον, παντὸς δὲ κέρδους ἄπληστος» καὶ σελ. 357, 7 «βλέπων τοῦ πλήθους τὴν κατήφειαν ἐκλάσθην πρὸς ἔλεον».

Ἐπίκτητ. Διατρ. Γ', κβ', 13 «σοὶ μὴ ὀργὴν εἶναι, μὴ μῆνιν, μὴ φθόνον, μὴ ἔλεον» καὶ Δ', ϛ', 2 «τὸ μὴ εἶναι ἐλέου ἄξιον».

Ἀλκίφρ. Ἐπιστ. Γ', μζ', 2 «τοῖς ἑτοίμοις εἰς ἔλεον καὶ συμπάθειαν».

Ἀρισταίνετ. σελ. 162 Βοισσ. «τοιοῦτος ἔλεος ἐρωτός ἐστιν ἀρχή».

Φιλόστρ. Τόμ. Α', σελ. 130, 21 Καυσ. (Φωτ. Βιβλιοθ. σελ. 333, 15) «καὶ γὰρ ἱκέτευε καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν».

Παυσαν. Κορινθ Ε', 8 «ἐς ὃ Δημήτηρ ἔλεον ἴσχει Πλημναίου» καὶ Ἀχαϊκ. ΙϚ', 10 «ἐτράποντο ἐς ἔλεον Ῥωμαῖοι τῆς Ἑλλάδος» καὶ Φωκικ. ΚΒ', 4 «ἅτε ἴσον μὲν ἐλέου, ἴσον δὲ τὰς φύσεις καὶ ἔρωτος ἀπέχοντες».

Ἀθήν. σελ. 84, Ε' «κάπηλίς τις γυνὴ κατ' ἔλεον ἔδωκεν οὐ μετὰ χεῖρας εἶχεν ἐσθίουσα κιτρίου» καὶ σελ. 592, Ε' «προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον ὡς δι' ἐκείνων ἔλεον ἕξων». Πρβ. καὶ σελ. 590, Ε' «ἐλέῳ χρησαμένους μὴ ἀποκτεῖναι» καὶ σελ. 602,

Β' «ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς ἔλεον τῶν βασάνων ἤγαγον».

Σέξτ. Ἐμπειρ. σελ. 676, 31 Βεκκ. «οὕτω παραπειστέον τοὺς δικαστὰς καὶ ὀργὴν κινητέον ἢ ἔλεον καὶ μοιχῷ συνηγορητέον ἢ ἱεροσύλῳ, ἐμφαίνει τὸ καθήκειν οὕτω τοὺς δικαστὰς παραπείθειν ἢ ὀργὴν ἢ ἔλεον κινεῖν» καὶ σελ. 690, 25 «ἐχρῆν αὐτοὺς μήτε ἔλεον μήτε οἴκτους μήτε ὀργὰς ἢ ἄλλα τινὰ τοιαῦτα κινεῖν».

Ἡρῳδιαν. Ἱστορ. σελ. 167, 1 Μενδ. «πάντας τε ἐς οἶκτον καὶ ἔλεον προκαλούμενος».

Πορφύρ. Ὁμηρικ. Ζητήμ. εἰς Ὀδύσσ. σελ. 51, 16 Σραδ. «καὶ ὅτι δι' ἔλεον κατεῖχεν» καὶ σελ. 91, 10 «τὸν εἰς τοὺς ξένους καθήκοντα ἔλεον» καὶ σελ. 92, 1 «ὅτι ἐλέου ἄξιον θέλει παραστῆσαι αὐτόν».

Ἑρμογέν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Γ', σελ. 340, 10 «οἷον θαῦμα ἢ λύπην ἢ φόβον ἢ ὀργὴν ἢ ἔλεον» καὶ 17 «ἐλέου δέ, ὅταν λέγῃ κτέ.» καὶ σελ 438, 9 «ἀλλὰ καὶ ἐλέου καὶ παραμυθίας αἴτιον γίνεται».

Προκόπ. Τόμ. Α', σελ 408, 21 Βόνν. «ἐλέου πολλοῦ ἄξια Βανδίλοις ξυνέβη» καὶ σελ. 480, 1 «τὴν ἐλπίδα δὲ ξύμπασαν ἐς τὸν ἐκείνων ἔλεον ἔχων» καὶ σελ. 522, 20 «πολλά τε πρὸς ἔλεον ἐπαγωγὰ φθεγγόμενον» καὶ Τόμ. Β', σελ. 343, 12 «τοῦ τῶν ἐγκλημάτων ὄγκου παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον» καὶ σελ. 502, 2 «τῷ ἐς παῖδάς τε καὶ γυναῖκας ἐλέῳ» καὶ Τόμ. Γ', σελ. 94, 23 «ἃ γὰρ τοῖς ἄλλοις συγγνώμην τε καὶ ἔλεον φέρει». Ἴσως δὲ καὶ ἐν Τόμ. Β', σελ. 48, 15 γραπτέον «πάσχουσιν ἀνήκεστά τε καὶ ἐλέου πολλοῦ ἄξια» ἀντὶ τοῦ ἐλέουΣ.

Σωζομεν. Ἐκκλησ. Ἱστορ. σελ. 112 Οὐσσ. «τὸν περὶ τοὺς ἐνδεεῖς ἔλεον καὶ φιλοτιμίαν».

Σουίδ. σελ. 9 Βεκκ. «ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες: ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων».

Ἡσύχ. «Δι' οἶκτον: δι' ἔλεον, οἰκτιρμόν «καὶ «Οἶκτρος: — ἐλέου ἄξιος»

Ζωναρ. Λεξ. σελ. 312 «Ἀσπόνδους: — τοὺς ἀκαμπεῖς καὶ ἀνενδότους πρὸς ἔλεον».

Σχολ. Ἰλ. Τόμ. Α', σελ. 413, 3 Δινδ. «ὅπως θεασάμενος Πάτροκλος κινηθείη μᾶλλον εἰς ἔλεον» καὶ Τόμ. Β', σελ. 63, 19

«ἅμα δὲ εἰς ἔλεον τῶν Ἑλλήνων ἐπάγεται τὸν Δία» καὶ σελ. 91, 29 «ἵνα ἔλεον κινήσῃ» καὶ σελ 220, 32 «ἐλεεινόν: ἐλέου ἄξιον τυγχάνοντα» καὶ Σχολ. Ὀδυσσ. σελ. 583, 6 «Δινδ. ἐλεητύν: ἔλεον· Αἰολικὴ ἡ διάλεκτος».

Σχολ. Αἰσχύλ. σελ. 496, 3 Δινδ. «αἰσχύνῃ καὶ ἐλέῳ πιεζόμενος θρηνεῖ».

Σχολ. Σοφοκλ. σελ. 43, 15 Τευδν. «τεχνικὸς ὁ λόγος ἐκ προοιμίου καὶ εἰς ἔλεον ἱκανὸς ἐπισπάσασθαι» καὶ σελ. 128, 1 «τὸν ἔλεον Ἠλέκτρας διαγράφει ὁ ποιητής» καὶ σελ. 177, 18 «πολὺν ἔλεον ἐργάζεται ὁ λόγος» (Πρβ καὶ σελ. 47, 9). Ἀλλὰ σελ. 174, 10 «νηλέα: τὰ μὴ τυχόντα ἐλέουΣ» καὶ σελ. 273, 7 «νηλεές: ἐλέουΣ μὴ τυχόν» καὶ σελ. 391, 12 «οὐδὲ ἐλέουΣ ἄξιοι τυγχάνουσιν».

Σχολ. Εὐριπ. Τόμ. Β', σελ. 124, 18 Δινδ. «προσαγόμενος αὐτὸν εἰς ἔλεον» καὶ σελ. 202, 15 «πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια» καὶ σελ. 217, 31 «γαλακτοτροφίας ὑπομιμνήσκουσα καὶ τὸν ἔλεον διὰ τούτου θηρωμένη» καὶ σελ. 317, 13 «ὁ δὲ ἱκέτης προσέπιπτε τὸν ἔλεον θηρώμενος» καὶ Τόμ. Δ', σελ. 91,8 «ἀλλὰ μᾶλλον πρὸς ἔλεον ῥέπειν». Ἀλλὰ σελ. 138, 8 «διότι οἰκτρὰ καὶ ἐλέουΣ ἄξια παθοῦσα τῇ Θεσσαλίᾳ ἐπέβης».

Σχολ. Ἀριστοφ. σελ. 346, 20 Διδ. «ἵνα διὰ τούτου πρὸς ἔλεον τοὺς δικαστὰς ἕλκωσι».

Καὶ ἐν ἐπιγραφῇ τῶν μεταγενεστέρων χρόνων (Ἐπιγρ. Ἑλλην. Σικελ. καὶ Ἰταλ. Καιβελ. σελ. 435, 1722) ἀπαντᾷ «θρεπτῆρσιν λείπων ἡλικίης ἔλεον» καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 312, 26 «οἶκτον αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν θεὸν καὶ βασιλεῦσαι τὸν ἔλεον ἐπ' αὐτὰς ἤδη καὶ τὴν εὐσπλαγχνίαν» καὶ σελ. 450, 42 «ἀπαθῆ πρὸς τὸν ἐκ δόξης ἔλεον κεκτημένοι τὴν γνώμην» καὶ σελ. 456, 40 «πολὺν ἔλεον τοῖς πάσχουσιν ἀπὸ τῶν ὁρώντων ἐκκαλεῖται» καὶ σελ. 499, 12 «προσπεσὼν δὲ τὸν ἔλεον ᾔτησεν» καὶ 39 «μετὰ πολλῆς τῆς συμπαθείας ᾔτει τὸν ἔλεον» καὶ σελ. 500, 16 «πρᾶγμα γέμον μὲν ἐλέου, συμβὰν δὲ κτέ.» καὶ 26 «πρᾶγμα λίαν οἰκτρὸν ὀφθαλμοῖς ἔχουσιν ἔλεον ἢ εἰδόσιν ἔλεον» καὶ σελ. 502, 29 «μηδ' ἔμφυτ πρὸς τὸ συγγενὲς ἔλεος καὶ ἀγάπη» καὶ σελ. 540, 9 «ἡ δὲ μετά νοια καμάτῳ καὶ δάκρυσι καὶ ἐλέῳ τὸ οἰκεῖον ἔργον περαίνει». Π

ρατηρητέον δ' ὅτι ἐν σελ. 204, 25 εἶνε γεγραμμένον «διὸ καὶ τὴν καθ' ἡμᾶς τοῦ λόγου οἰκονομίαν δικαιοσύνην θεοῦ καὶ κρίσιν καὶ ἔλεον τὸ ἱερὸν ἀνακηρύττει γράμμα, ὡς δικαίᾳ κρίσει τοῦ θεοῦ μόνους τῶν λογικῶν τῷ πηλῷ συνδεθέντας μόνους καὶ τῆς τοσαύτης ἀξιωθῆναι φιλοτιμίας καὶ τοῦ ἀνεκφράστου ἐλέουΣ».

Πολλὰ τοῦ κινεῖν ἔλεον ἢ τὸν ἔλεον παραδείγματα ἔχομεν ἐκ τῆς Ῥητορικῆς Τέχνης τοῦ Ἀψίνου νὰ καταλέξωμεν, οἷον σελ. 91, 8 «ἐπειδὰν δὲ μέλλωμεν ἔλεον κινεῖν» καὶ σελ. 93, 16 «ἀπὸ τοῦ παρὰ τὴν ἀξίαν καλουμένου τὸν ἔλεον κινήσομεν» καὶ σελ. 94, 3 «οἶμαι μὲν ὅτι καὶ αὐτὸς κινεῖ τὸν ἔλεον» καὶ μετ' οὐ πολλὰ «ὑπῆρχεν ἂν κινῆσαι τὸν ἔλεον αὐτῷ» καὶ μετ' ὀλίγα «ἔτι κινήσομεν ἔλεον καὶ ἀπὸ τοῦ καλουμένου παρὰ τὴν ἐλπίδα» καὶ σελ 95, 3 «ἔτι ἔλεον κινήσομεν ἀπὸ τῆς εὐδαιμονίας τῆς προτοῦ» καὶ σελ. 96, 17 «ἡ ἀντιπαράθεσις τῶν κακῶν τοῖς ἀγαθοῖς τὸν ἔλεον κεκίνηκεν» καὶ μετ' ὀλίγα «ἐπειδὰν δέ τινας τὸν περὶ αὐτῶν κινοῦντες ἔλεον ἀτυχοῦντας ἐπιδεῖξαι θέλωμεν» καὶ σελ. 97, 15 «κινεῖ μὲν ἔλεον καὶ ἁπλῶς λεχθέν» καὶ σελ. 98, 10 καὶ 17 καὶ σελ. 99, 3 καὶ 11 καὶ 19 καὶ σελ. 100, 7 καὶ 10 καὶ ἀλλαχοῦ. Εἶπε δ' ὁ Ἀψίνης καὶ «ἀπὸ τούτων οἶκτον κεκίνηκε» (σελ. 106, 5) καὶ «οἶκτον ἐπὶ τῷ Πενθεῖ κινῆσαι βουλόμενος» (σελ. 107, 20) καὶ «ἀπὸ τῆς ἐρημίας οὖν οἶκτον κινήσει» (σελ. 111, 3). Συνάψας δὲ τὰ συνώνυμα οἶκτον καὶ ἔλεον ἔγραψεν «οἶκτόν τινα καὶ ἔλεον περιθεὶς τῷ πάθει» (σελ. 108, 3). Ἄξια ἀναγνώσεως εἶνε τὰ ὑπὸ τοῦ Ἐρνέστου γεγραμμένα ἐν Λεξ. Τεχνολ. σελ. 101.

Κάλλιστον δ' ἡμῖν παράγγελμα φαίνεται τὸ κείμενον ἐν τῷ Ἀνθολογίῳ τοῦ Στοβαίου βιβλ. Α', 31 «Φωκίωνος. Οὔτε ἐξ ἱεροῦ βωμὸν οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον».

Τῆς δοκίμου φράσεως ἔλεον ἐκκαλέσασθαι γίνεται μνεία ὑπὸ τοῦ Πολυδεύκους βιβλ. Δ', 21 «οἶκτον ἐπισπάσασθαι, ἔλεον ἐκκαλέσασθαι». Πρβ. καὶ Διογέν. Λαέρτ. Β', 14 «Ἱερώνυμος δ' ἐν τῷ δευτέρῳ τῶν σποράδην ὑπομνημάτων φησὶν ὅτι ὁ Περικλῆς παρήγαγεν αὐτὸν ἐπὶ τὸ δικαστήριον, διερρυηκότα καὶ λεπτὸν ὑπὸ νοσου, ῞ιτε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι» καὶ Ζ', 123 «ἐπεί τό γ' εἶν καὶ ὁ ἔλεος αὐτή θ' ἡ ἐπιείκεια οὐδένειά ἐστι ψυχῆς». Περὶ τοῦ ημένου ἐν τῷ Οὐϊνδοβονησίῳ Λεξικῷ σελ. 65, 34 Ναυκ. «ἔλεος

θεοῦ καὶ ἔλεος ἀνθρώπων ὁ ἀπὸ θεοῦ τοῖς ἀνθρώποις, καὶ ἕτερα οὕτω πλεῖστα λέγονται» θὰ γράψωμεν τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

Παρ' Ἀχιλλεῖ τῷ Τατίῳ ἔχουσι τἀντίγραφα ἐν μὲν βιβλ. Γ', 10 «ἵνα μηδὲ ἐλέουΣ τύχωμεν», ἐν δὲ βιβλ. ς', 7 «ἔστι μὲν γὰρ φύσει δάκρυον ἐπαγωγότατον ἐλέου τοῖς ὁρῶσι», ὡς καὶ ἐν βιβλ. Ζ', 9 «ἄνθρωπον ἐλέου μᾶλλον ἢ τιμωρίας δεόμενον» (Ἴδε Ἰακώψιον εἰς Ἀχιλλ. Τάτ. σελ. 847 καὶ σελ. 897). Πιθανώτατον ἡμῖν φαίνεται ὅτι καὶ ἐν τῷ πρώτῳ χωρίῳ τῇ γενικῇ ἐλέου ἐχρήσατο ὁ συγγραφεύς, ὡς ἀνεγνώσθη ὑπὸ τοῦ Κοβήτου, ᾧ ἠκολούθησαν ὅτε Ἱρσχίγιος καὶ ὁ Ἑρχῆρος. Πρβ. καὶ βιβλ. Γ', 10 «ὁ γὰρ λόγος πολλάκις τὸν ἔλεον προξενεῖ» καὶ 14 «συμπαθὴς δέ πως εἰς ἔλεον ἄνθρωπος ἀκροατὴς ἀλλοτρίων κακῶν, καὶ ὁ ἔλεος πολλάκις φιλίαν προξενεῖ· ἡ γὰρ ψυχὴ μαλαχθεῖσα πρὸς τὴν ὧν ἤκουσε λύπην, συνδιατεθεῖσα κατὰ μικρὸν τῇ τοῦ πάθους ἀκροάσει τὸν οἶκτον εἰς φιλίαν καὶ τὴν λύπην εἰς [τὸν] ἔλεον συλλέγει».

Παρὰ τῷ Γαληνῷ Τόμ. Α', σελ. 576 φέρεται «μελλησμοῦ τε καὶ προπετείας ἐλέουΣ τε καὶ φθόνου». Τὴν ἐκφορὰν ταύτην βλέπει τις καὶ παρὰ τῷ Ὀρειβασίῳ Τόμ. Γ', σελ. 12, 3 μνημονεύοντι τὰ τοῦ Γαληνοῦ. Καὶ ἐν ἄλλῳ δὲ τοῦ Γαληνοῦ τόπῳ εὑρίσκεται ἡ μετὰ τοῦ Σ γενική, Τόμ. Δ', σελ. 727 «πρὸς ταῦτ' οὖν οὐδὲν ἔχοντες ὥσπερ ἐπί τινα βωμὸν ἐλέουΣ καταφεύγουσι τὴν Πυρρωνείαν ἀγροικίαν». Ἀλλ' ὁ Κόβητος κελεύει νὰ γραφῇ ἐλέου λέγων ἐν τῇ Μνημοσύνῃ 1881, σελ. 447 «Iudaeorum et Christianorum est τὸ ἔλεος pro ὁ ἔλεος, itaque βωμὸν ἐλέΟΥ scribendum. Notissima est haec *ara misericordiae*. Lucianus in *Demonacte* cap. 57: μὴ πρότερον ταῦτα ψηφίσησθε, ἂν μὴ τοῦ ἐλέου τὸν βωμὸν καθέλητε». Λέγει δ' ὁ Λουκιανὸς καὶ ἐν τῷ Δὶς Κατηγορουμένῳ § 21 «καὶ ταῦτα ὥσπερ ἱκέτην ἐπὶ τὸν τοῦ Ἐλέου βωμὸν ἐπὶ τὴν ἡδονὴν καταφυγόντα» καὶ ἐν τῷ Τίμωνι § 42 «φίλος δὲ ἢ ξένος ἢ ἑταῖρος ἢ Ἐλέου βωμὸς ὕθλος πολύς». Ἴσως δ' ἔγραψεν ὁ Λουκιανὸς «φίλιος δὲ ἢ ξένιος ἢ ἑταιρεῖος», ὡς ἐν § 1 «ὦ Ζεῦ φίλιε καὶ ξένιε καὶ ἑταιρεῖε καὶ ἐφέστιε κτέ.» Ἐν τοῖς εἰς Λουκιανὸν Σχολίοις φέρεται σελ. 49 Ἰακ. «Ἵδρυτο γὰρ παρ' Ἀθηναίοις Ἐλέου βωμὸς ἐπὶ συμπάθειαν καὶ φιλανθρωπίαν αὐτοὺς παρακαλῶν» καὶ σελ. 159 «Εἰ γὰρ ὁ Ἐλέου βωμὸς οἰκτίρμονας κηρύττει Ἀθηναίους, πῶς ἂν ἀνάσχοι-

σθε, φησί, τοιοῦτον ὠμὸν πρᾶγμα θεᾶσθαι;» καὶ σελ. 160 «Ὅτι Ἐλέου βωμὸς ἦν παρὰ Ἀθηναίοις, πρὸς ὃν οἱ καταφεύγοντες ἐσώζοντο» καὶ σελ. 209 «Βωμὸς ὑπῆρχε παρ' Ἀθηναίοις τοῦ Ἐλέου, ἐν ᾧ οἱ ἀδικούμενοι, ἵνα ἐλεηθῶσι, κατέφευγον».

Ὁ Παυσανίας ἱστορεῖ ὅτι ὑπῆρχεν ἐν Ἀθήναις ἐλέου ἢ Ἐλέου βωμός Ἀττικ. ΙΖ', 1. Μνημονεύουσι δὲ καὶ ἄλλοι μεταγενέστεροι τοῦ βωμοῦ τούτου. Διόδωρ. Σικελ. ΙΓ', κϐ', 7 «οἱ πρῶτοι βωμὸν Ἐλέου καθιδρυσάμενοι τοῦτον ἐν τῇ πόλει τῶν Συρακουσίων (Συρακοσίων) εὑρήτουσιν». Ἀπολλόδ. Β', η', 1 «διωκόμενοι δὲ (οἱ Ἡρακλέους παῖδες) ἦλθον εἰς Ἀθήνας καὶ καθεσθέντες ἐπὶ τὸν Ἐλέου βωμὸν ἠξίουν βοηθεῖσθαι» καὶ Γ', ζ', 1 «Ἄδραστος δὲ εἰς Ἀθήνας ἀφικόμενος ἐπὶ τὸν Ἐλέου βωμὸν κατέφυγε». Φιλόστρατ. Βί. Σοφ. Β', ιϐ', 3 «πῶς Ἠλεῖοι πανηγυρίζουσι, πῶς Δελφοὶ θεσπίζουσι, τίς ὁ παρ' Ἀθηναίοις Ἐλέου βωμός» καὶ Ἐπιστολ. ΛΘ' «ἐδέξαντο καὶ Ἀθηναῖοι — τοὺς Ἡρακλέους παῖδας ἀλωμένους, ὅτε καὶ τὸν Ἐλέου ἐστήσαντο βωμὸν ὡς τρεισκαιδεκάτου θεοῦ». Ζηνόϐ. Παροιμ. Α'. 30 «οἱ τῶν ἀποθανόντων παῖδες πρὸς τὸν τοῦ Ἐλέου καταφυγόντες βωμὸν τοὺς νεκροὺς ἐξήτουν» καὶ Β', 61 «πρὸς τὸν τοῦ Ἐλέου βωμὸν τῶν Ἡρακλειδῶν προσπεφευγότων, Ἀθηναῖοι μὴ ἐκδιδόντες αὐτοὺς πρὸς Εὐρυσθέα πόλεμον ὑπέστησαν». Ἀφίν. Τέχν. Ῥητορ. σελ. 92, 5 «Ἀθήνησι μὲν οὖν λέγοντες — τὸν κοινὸν τόπον τοῦτον κατασκευάσομεν· Ἐλέου βωμὸς ἐστὶ παρ' ὑμῖν, θεὸς εἶναι δοκεῖ παρ' ὑμῖν ἡ κοινὴ πάντων φιλανθρωπία. — Καὶ παραδείγματα προοισόμεθα τοὺς καταφυγόντας μὲν ἐπὶ τὸν βωμόν, μὴ ἀτυχήσαντας δὲ ὧν ἠξίωσαν, οἷον τοὺς Ἡρακλείδας καὶ εἰ δή τινες ἕτεροι λέγονται τὸ ὅμοιον αὐτοῖς ποιῆσαι». Νικηφόρ. Προγυμν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 499, 2 «ἐπὶ τὴν Ἀθηνᾶς πόλιν πορεύσομαι, ἐπὶ τὸν Ἐλέου βαδιοῦμαι βωμόν». Πλανούδ. Ἐπιστολ. σελ. 65, 14 «καὶ τοῦτο δηλοῦν Ἕλληνες βούλονται τὸν Ἀθήνησιν Ἐλέου βωμόν».

Πολὺς λόγος περὶ τοῦ παρὰ τοῖς Ἀθηναίοις βωμοῦ τοῦ Ἐλέου γίνεται ὑπὸ τοῦ Λιβανίου ἐν τῷ Δημοσθένει, ἐξ οὗ παρατιθέμεθα τὰ χωρία τάδε. Τόμ. Δ', σελ. 257, 2 «ἤγγελλε δέ τις εἰς τὸν δῆμον Δημοσθένην τὸν Παιανιέα καταπεφευγέναι πρὸς τὸν Ἐλέου βωμόν» καὶ σελ. 259, 14 «ἐπιμελοῦ δέ, φησί, καὶ τοῦ Ἐλέου βω-

μοῦ· παρ' ὑμῖν γὰρ ἐστὶ τοῖς ἡμέροις». Πρβ. καὶ σελ. 255, 5 «καὶ τὸν Ἔλεον ἐν τοῖς θεοῖς ἀριθμεῖν». Εἶπε δ' ὁ Λιβάνιος καὶ ἐν τῷ Κορινθίων λόγῳ Τόμ. Δ', σελ. 361, 27 «οὐδ' ὁ παρ' ὑμῖν ἔτι βωμὸς ἐστίν, ὃν Ἐλέου καλεῖτε» καὶ ἐν τῷ Πρεσβευτικῷ πρὸς Ἰουλιανὸν Τόμ. Α', σελ. 463, 19 «τῶν γὰρ οἴκοι τὸν ἔλεον ἡγουμένων θεόν, οὗ τὸν βωμὸν ἑώρακας Ἀθήνησιν».

Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Σοφοκλέα Σχολίοις Οἰδ. Κολ. 261 «ἐπεὶ καὶ Ἐλέου βωμὸς ἐν Ἀθήναις ἵδρυται» καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Ἱππ. 1151 «τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ Ἐλέου βωμὸν καταφυγόντας» καὶ ἐν τοῖς εἰς Αἰσχίνην περὶ Παραπρεσβ. 15 «ῥάβδον θαλλῷ ἐλαίας στέψας καθῆστο κατέχων εἰς τὸν Ἐλέου βωμόν» καὶ ἐν τοῖς εἰς Δημοσθένη Ὀλυνθ. Β', 6 «οἷον ἀπὸ τῶν Ἀθηναίων (γρ. Ἀθηνῶν), ἀπὸ τοῦ χωρίου ὥσπερ τοῦ Ἐλέου, ἔνθα καὶ Ἡρακλεῖδαι ἐσώθησαν, ἀπήλαυνον οὗτοι τοὺς ἱκέτας». Ὁ Σαύπιος ὑπέλαβεν ὅτι τὸ χωρίου εἶνε πλημμελὴς γραφὴ τοῦ βωμοῦ (Ἴδε Γ. Δινδόρφιον ἐν τῇ ἐκδόσει τοῦ Δημοσθένους Τόμ. Η', σελ. 84 Ὀξ.).

Σέξτος ὁ Ἐμπειρικὸς λέγει ὅτι Ἐλέου βωμοὶ ἦσαν παρὰ τοῖς Ἀθηναίοις σελ. 430 Βεκκ. «Εἴ γε μὴν τὴν Ἀφροδίτην θεὰν εἶναι λέγομεν, ἔσται καὶ ὁ Ἔρως υἱὸς ὢν Ἀφροδίτης θεός. Ἀλλ', εἰ ὁ ἔρως θεός ἐστι, καὶ ὁ ἔλεος ἔσται θεός· ἀμφότερα γάρ ἐστι ψυχικὰ πάθη καὶ ὁμοίως ἀφωσίωται τῷ ἔρωτι καὶ ὁ ἔλεος· παρὰ Ἀθηναίοις γοῦν Ἐλέου βωμοί τινες εἰσίν». Παρ' οὐδενὶ ἑτέρῳ εὕρομεν ἡμεῖς τὸν πληθυντικὸν ἀριθμὸν Ἐλέου βωμοί (Πρβ. Βέργκιον ἐν *Klein. Phil. Schrift*. Τόμ. Β', σελ. 630, σημ. 8).

Παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ εἶνε γεγραμμένον Τόμ. Β', σελ. 403, 26 «εἰ τὸν παρὰ σοὶ βωμὸν τοῦ ἘλέουΣ κεκλεισμένον εὑρίσκω καὶ ἄβατον». Ἀλλ' ἴσως τοῦ δοκίμου τύπου χρῆσιν ὁ Ἀκομινᾶτος ἐποιήσατο, ὡς ἐν σελ. 281, 8 «οἱ παλαίτατοι τῶν Ἀθηναίων ἄλλο γε ἱερὸν θυτήριον, τὸν Ἐλέου βωμόν, κατὰ μέσον ἄστυ ἐστήσαντο» καὶ μετ' ὀλίγα «σὲ δὲ τὸν τοῦ Χριστοῦ λαμπρότατον θύτην καὶ θυτήριον ἔμβιον θεοῦ καὶ ἄσυλον Ἐλέου βωμὸν πάντες ἂν ἐμοὶ συμφθέγξαιντο» καὶ σελ. 418, 9 «τὸν Ἐλέου βωμὸν ἄντικρυς τοῖς Ἀθηναίοις καινίζεις πάλαι κατεστραμμένον» καὶ ἐν Τόμ. Α', σελ. 148, 3 «ἀνάστησόν μοι καὶ τὸν τοῦ Ἐλέου βωμὸν πάλαι καταβε-

βλημένον καὶ περιφρονούμενον» καὶ σελ. 319, 4 καὶ 8. Πρβ. Τόμ. Α', σελ. 87, 14 «τὸν ἔλεον οὗτοι καὶ τὴν κρίσιν ᾀδέτωσαν». σελ. 123,11 «εἰ συζεύξεις τὸν ἔλεον».Τόμ. Β', σελ.59,29 «τὸν βασιλικὸν ἔλεον». σελ. 65, 16 «τὸν τοῦ αὐτοκράτορος ἔλεον». σελ. 88, 14 «οὐ μὰ τὸν ἀνεξίκακον καὶ μακρόθυμον ἔλεον τοῦ θεοῦ». σελ. 99, 22 «κάμφθητι πρὸς ἔλεον». σελ. 103, 26 «τὸν βαθύρρουν τῆς βασιλικῆς φιλανθρωπίας ἔλεον μετοχετεῦσαι». σελ. 105, 26 «τὸν παρ' ὑμῶν ἕλκειν ἔλεον». σελ. 150, 17 «καὶ κοινῶς ὑετίζεις τὸν ἔλεον». σελ. 182, 27 «κατενεχθέντες εἰς ἔλεον». σελ. 183, 19 «ἐπὶ ἐλέῳ». Σημειωτέον δ' ὅμως ὅτι φέρεται παρὰ τῷ Ἀκομινάτῳ Τόμ. Α', σελ. 245, 26 «οὕτω γὰρ τὴν ἐκ τῆς ἥττης ἀλμυρὰν ναυτίαν τῷ ποτίμῳ τοῦ βασιλέως ἐλέει ἐξαποβλύσειας (γρ. ἐξαποΚλύσειας)» καὶ σελ. 310, 14 «γενέσθαι καὶ ἐφ' ἡμῖν ἔλεος» καὶ Τόμ. Β', σελ. 54, 21 «οἱ μᾶλλον ἐλέουΣ δεόμενοι» καὶ σελ. 107, 16 «ποιήσατε ἔλεος ἀζήμιον τῷ δημοσίῳ» καὶ σελ. 168, 2 «τὰ ἐλέη αὐτοῦ» καὶ σελ. 277, 13 «ἀπολαύσει τοῦ ἐλέουΣ». Πρβ. καὶ σελ. 127, 15,

Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Φιλοστράτου ἐν τῇ ΙΓ' Ἐπιστολῇ «ἀλλὰ σῷζε καὶ τὸν Ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε» καὶ ὑπὸ Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Ε', σελ. 253 «οἱ δ' ὅλον τοῦτον παρακαλυψάμενοι τὸν νόμον, τοὺς ἅλας, τὰς σπονδάς, τὸν Ἐλέου βωμόν,τὴν κοινὴν ἑστίαν, κτέ.». Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα μνημονεύεται Ἐλέου βωμός, ἀλλ' οὐδεὶς λόγος περὶ αὐτοῦ γίνεται.

Ἐν ἐπιγραφῇ Ἀττικῇ τῶν Ῥωμαϊκῶν χρόνων (Συλλ. Ἐπιγρ. Ἀττ. Τόμ. Γ', α', σελ. 66) φέρεται «ὑψιμέδων, ὕπατε πάτερ εἰρήνης βαθυκά(ρπου), σὸν ἐλΑΙου βωμὸν ἱκετεύομεν ἡμεῖς» (Πρβ. Ἐπιγρ.Ἑλλην. Καιβελ. 792, σελ. 322). Εὑρέθη δὲ καὶ ἐν Ἐπιδαύρῳ ἐπιγραφὴ ἔχουσα ὧδε (Ἐφημ. Ἀρχαιολ. 1883, σελ.150) « Ἐλέου βωμὸν Ἱεροκλῆς κατ' ὄναρ».

Περὶ τοῦ παρὰ τοῖς Ἀθηναίοις βωμοῦ τοῦ Ἐλέου οὐκ ὀλίγοι φιλόλογοι ἔγραψαν, ὁ Οὐεσσελίγγιος ἐν τῇ ἐκδόσει τοῦ Διοδώρου Τόμ. ., σελ. 559 καὶ ὁ Ἑύνιος ἐν τῇ ἐκδόσει τοῦ Ἀπολλοδώρου Τόμ. Ι', σελ. 202 καὶ ἄλλοι. Ἐκτενέστερον δὲ περὶ αὐτοῦ διέλαβεν ὁ ' ιύλωρος ἐξηγούμενος τὸ ἐν τῷ Ἐπιταφίῳ τοῦ Λυσίου ἢ Ψευδολυ‹ ιυ § 11 «ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν ἱκέται ἐπὶ τῶν βωμῶν

ἐκαθέζοντο » (Ῥήτ. Δόψων. Τόμ. Β', σελ. 192 κἑξ.). Προκρίνας οὗτος τὴν κατ' αἰτιατικὴν τοῦ ἑνικοῦ ἀριθμοῦ ἐκφορὰν ἐπὶ τὸν βωμόν τῆς κατὰ γενικὴν πληθυντικὴν ἐπὶ τῶν βωμῶν νομίζει ὅτι νοεῖται ὁ βωμὸς τοῦ Ἐλέου, ἀποφαίνεται δ' ὅτι ὁ Ἔλεος οὐχὶ ἕτερος τοῦ Διὸς εἶνε, ὅστις μειλίχιος καὶ ἱκέσιος καὶ ξένιος καλούμενος ἱδρύετο ἐν τῇ ἀγορᾷ τῶν πόλεων· ἱκανὸν δ' ἔπειτα ποιεῖται λόγον περὶ τοῦ ἀγοραίου τούτου Διός. Καὶ ὁ Βέργκιος ὑπολαμβάνει ἐν *Klein. Philol. Schrift.* Τόμ. Β', σελ. 630, ὅτι ὁ βωμὸς τοῦ Ἐλέου οὐχὶ διάφορος τοῦ βωμοῦ τοῦ ἀγοραίου Διὸς ἦτο. δοξάζει δ' ὅτι θεοῦ Ἐλέου λατρεία οὐδέποτε ὑπῆρξεν. Κατ' ἄλλους ὁ βωμὸς τοῦ Ἐλέου ἦτο ὁ αὐτὸς τῷ τῶν δώδεκα θεῶν (Ἴδε *Philol. Unter-such.* Τόμ. Α', σελ. 201, σημ. 4). Οὐδαμῶς ἀπίθανον νομίζομεν ὅτι θεοποιήσαντες τὸν ἔλεον οἱ Ἀθηναῖοι βωμὸν αὐτῷ ἐν τῇ ἀγορᾷ ἵδρυσαν. Ὁ Παυσανίας λέγει Ἀττικ. ΙΖ', 1 « Ἀθηναίοις δὲ ἐν τῇ ἀγορᾷ καὶ ἄλλα ἐστὶν οὐκ ἐς ἅπαντας ἐπίσημα καὶ Ἐλέου βωμός, ᾧ μάλιστα θεῶν ἐς ἀνθρώπινον βίον καὶ μεταβολὰς πραγμάτων ὅτι ὠφέλιμος (ὄντι ὠφελίμῳ), μόνοι τιμὰς Ἑλλήνων νέμουσιν Ἀθηναῖοι. Τούτοις δὲ οὐ τὰ ἐς φιλανθρωπίαν μόνον καθέστηκεν, ἀλλὰ καὶ ἐς θεοὺς εὐσεβοῦσιν ἄλλων πλέον· καὶ γὰρ Αἰδοῦς σφίσι βωμός ἐστι καὶ Φήμης καὶ Ὁρμῆς ». Τοῦ βωμοῦ τῆς Αἰδοῦς γίνεται μνεία καὶ ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1279, 39 «Διὸ κατὰ τοὺς παλαιοὺς Ἀθήνησιν Αἰδοῦς καὶ Ἀφελείας ἦν βωμὸς περὶ τὸν τῆς Πολιάδος Ἀθηνᾶς νεών, καθὰ καὶ Παυσανίας ἱστορεῖ, ἅς οἱ μὲν παιδαγωγούς, οἱ δὲ τροφοὺς τῆς θεᾶς γενέσθαι φασίν. Ἔστι δὲ αὐτὸ αἴνιγμα τοῦ χρῆναι τὸν διδασκόμενον ἢ τὰ πρὸς φρόνησιν Ἀθηνᾶν ἢ τὰ πρὸς ἄλλας τέχνας, ὧν Ἀθηνᾶ ἐπιστατεῖ, αἰδῶ τε τηρεῖν εἰς τοὺς διδασκάλους καὶ ἀφελῶς αὐτοῖς προσφέρεσθαι καὶ ἀπεριέργως οἷα μὴ εἰδότας ». Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου εἶνε γεγραμμένον « Αἰδοῦς βωμός: Ἀθήνησιν ἐν τῇ ἀκροπόλει Αἰδοῦς καὶ Φιλίας εἰσὶ βωμοὶ πρὸς τῷ ἱερῷ ». Πρβ. Ψευδοδημοσθ. κατ' Ἀριστογείτ. Α', 35 (σελ. 780) « καὶ δίκης γε καὶ εὐνομίας καὶ αἰδοῦς εἰσὶ πᾶσιν ἀνθρώποις βωμοί, οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκάστου καὶ τῇ φύσει, οἱ δὲ καὶ κοινῇ τοῖς πᾶσι τιμᾶν ἱδρυμένοι· ἀλλ' οὐκ ἀναισχυντίας οὐδὲ συκοφαντίας οὐδ' ἐπιορκίας οὐδ' ἀχαριστίας, ἃ πάντα τούτῳ πρόσεστιν » καὶ Αἰσχύλ. Ἑπτ. Θήβ. 409

«τὸν Αἰσχύνης θρόνον τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους» καὶ Διοσκορ. Ἀνθολογ. Παλατ. Ζ', 450 «οὐκ εἰμ' ἡ τὰ γυναιξὶν ἀναγράψασα προσάντη ἔργα καὶ Αἰσχύνην οὐ νομίσασα θεόν». Ὁ Φώτιος γράφει ἐν τῷ Λεξικῷ σελ. 85, 1 «θεὸς ἡ Ἀναίδεια· λέγεται ἐπὶ τῶν δι' ἀναισχυντίαν ὠφελουμένων· ἐτιμᾶτο δὲ καὶ Ἀθήνησιν ἡ Ἀναίδεια, καὶ ἱερὸν ἦν αὐτῆς, ὡς Ἴστρος ἐν ιδ'» (Ἴδε Ναβῆρον ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τοῦ Φωτίου Τόμ. Α', σελ. 277). Πρβ. Μένανδρ. παρὰ Στοβ. Ἀνθολ. ΛΒ', 7 «Ὦ μεγίστη τῶν θεῶν νῦν οὖσ' ἀναίδει', εἰ θεὸν καλεῖν σε δεῖ. Δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός» (Ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τόμ. Γ', σελ. 74). Καὶ δι' ἄλλων δὲ πολλῶν παραδειγμάτων δύναταί τις νὰ παραστήσῃ ὅτι σύνηθες τοῖς Ἕλλησιν ὑπῆρχε νὰ προσωποποιῶσι καὶ θεοποιῶσιν ἀφῃρημένας ἐννοίας.

Ἐκ τοῦ ὀνόματος ἔλεος ἐσχηματίσθησαν ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ διὰ συνθέσεως τὰ ἐπίθετα πολυέλεος καὶ φιλέλεος. Γνωστότατος δ' εἶνε ὁ ἐν τοῖς ναοῖς ὑπάρχων πολυέλεος. Ὁ Κοραῆς γράφει ἐν Ἀτάκτ. Τόμ. Δ', σελ. 637 «ΦΑΝΟΣ, τὸ πολλὰ φῶτα φέρον σκεῦος, τὸ ἀπὸ τοὺς Γραικορωμ. ὀνομαζόμενον οὐδετέρ. Πολυκάνδηλον Δ. (lustre). Ὀνομάζεται καὶ ἀρσ. Πολυέλεος, Δ. διότι ἀνάπτεται, ὁπότε ψάλλεται ὁ 136, ψαλμὸς τοῦ Δαυΐδ, ὁ ἐπονομαζόμενος Πολυέλεος, τοῦ ὁποίου τὰ 24 ἐδάφια, ἀπαρτίζονται μὲ τὸ Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ». Τῷ φιλέλεος συνωνυμεῖ τὸ φιλελεήμων, ἀνθ' οὗ ἐν τῷ δοκίμῳ ἑλληνισμῷ λέγεται φιλοικτίρμων. Πρβ. καὶ φιλοίκτιστος.

Ἐξ ὧν διελάβομεν συμφανές, νομίζομεν, κατέστη ὅτι ἀρσενικῶς ἀείποτ' ἐν τῷ δοκίμῳ ἑλληνισμῷ ἐλέγετο τὸ ὄνομα ἔλεος, ὅλως δ' ἀδόκιμος καὶ ἔκφυλος εἶνε ἡ κατ' οὐδέτερον γένος ἐκφορὰ τὸ ἔλεος, τοῦ ἐλέους, κτλ. Πᾶς δέ τις γινώσκων ὅτι συχνάκις οἱ βιβλιογράφοι μετατυποῦσι παλαιοτέρους καὶ δοκίμους τύπους εἰς νεωτέρους καὶ ἀδοκίμους περὶ οὐδενὸς ποιεῖται τὴν παράδοσιν ἐν τῷ χωρίῳ τοῦ Ἰσοκράτους «ἐλέουΣ παρ' ὑμῶν τυγχάνειν». Θαυμαστὸν δύναταί τινι νὰ φανῇ ὅτι ἀνυπόπτον τὴν γραφὴν ταύτην ὑπολαμβάνει ὁ Κυνῆρος ἐν τῇ Διεξοδικῇ Γραμματικῇ τῆς Ἑλληνικῆς Γλώσσης Τόμ. Α', σελ. 396 ἐκδ. 6' (1869) «ὁ ἔλεος, Mitleid, aber G. ἐλέους

Isocr. 18. p. 378 § 39». Ἀλλ' ὁ πολυμαθὴς ὄντως οὗτος γραμματικὸς τυγχάνει ὢν τῶν ἀκριτωτέρων ἐκείνων φιλολόγων, οἵτινες ὑπερβαλλόντως τιμῶσι τἀντίγραφα καὶ προχείρως αὐτοῖς ἑκάστοτε πείθονται οὐδαμῶς ἐνθυμούμενοι ὅτι ἥκιστα σοφοῖς ἀνδράσιν ἁρμόζει νὰ ἐκκρέμωνται δουλικῶς τῶν δεινῶς λελωβημένων καὶ πάσης πλημμελείας γεμόντων ἀντιγράφων. Τίς ἔμπειρος τῆς κριτικῆς ὢν ἀγνοεῖ ὅτι ἐν πλείστοις γραμματικοῖς ζητήμασι πολλῷ μεῖζον ὁ ὀρθὸς λόγος ἔχει κῦρος τῶν ἀντιγράφων καὶ παλαιοτάτων ὄντων; Οὐκ ὀλίγα δὲ παραδείγματα τῆς τοῦ Κυνήρου περὶ τὰς παραδεδομένας γραφὰς περιττῆς εὐλαβείας ἔχομεν πρόχειρα, ἐξ ὧν δύο μόνα ἐν τῷ παρόντι μνημονεύομεν, ἵνα μὴ λίαν τὸν λόγον μηκύνωμεν.

Ἐσχάτως βάρβαρος εἶνε ὁ τύπος διεξεπέσαντο, οὐδεὶς δὲ μὴ Σκύθης ὢν ἠδύνατο νὰ εἴπῃ διεξεπεσάμην ἀντὶ τοῦ διεξέπεσον. Καὶ ὅμως ἐν τῇ μνημονευθείσῃ Γραμματικῇ τοῦ Κυνήρου Τόμ. Α', σελ. 894 φέρεται «διεξ-επέσαντο Polyaen. 4, 2. 14. 7, 48». Ὁ Πολύαινος ἔγραψε διεξεπαίσατο ἐν βιβλ. Β', ϐ', 5 καὶ Δ', ϐ', 14 καὶ Ε', ις', 5 καὶ διεξεπαίσαντο ἐν βιβλ. Ζ', 48, ὡς παρετηρήσαμεν ἐν τῷ Λογίῳ Ἑρμῇ 1876, σελ. 122 κἑξ.

Οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι ὑπὸ τῶν παλαιῶν ἐλέγετο Συρακόσιος καὶ ἰωνιστὶ Συρηκόσιος, οὐχὶ Συρακούσιος. Ὁ δὲ Κυνῆρος γράφει ἐν τῇ ἐκδόσει τῆς Ξενοφῶντος Ἀναβάσεως σελ. 15 τὴν σημείωσιν τήνδε· «Συρακούσιος: Non sum ausus contra omnium codicum veterumque editionum fidem scribere Συρακόσιος — Ego quidem utramque formam Xenophonti in usu fuisse arbitror et haecne, an illa recipienda sit, e codicum auctoritate diiudicandum esse». Ἴδε τὰ ὑφ' ἡμῶν διειλημμένα ἐν τῇ Ἐφημερίδι τῶν Φιλομαθῶν 1881, σελ. 38.

Ὁ Βλάσιος, φιλόλογος τῶν κρατίστων, ἔγραψεν ἐν τῇ ἐκδόσει τῆς τοῦ Κυνήρου Διεξοδικῆς Γραμματικῆς Τόμ. Α', α', σελ. 515 «ὁ ἔλεος, Mitleid, aber nachklass., als Nov. Test. u. LXX, τὸ ἔλεος (zu berichtigen G. ἐλέους Isocr. 18, § 39);». Ἀποκατέστησε δὲ καὶ ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 214 τὴν γνησίαν ἐκφορὰν ἐλέου.

ΚΕΦ. Δ'.

Ἀδιεξίτητον — ἀδιεξήγητον.

Παρὰ Φίλωνι τῷ Ἰουδαίῳ Τόμ. Β', σελ. 252 Λιψ. (1828) κεῖται «σκεπτώμεθα δ' ἡμεῖς καὶ ἐφ' ἑνὸς ἀνδρὸς τὸ ἀδιεξήγητον τῶν κακῶν πλῆθος». Ἐν τῇ νέᾳ τοῦ Φίλωνος ἐκδόσει Τόμ. Β', σελ. 232, 26 (1897) ἐγράφη μὲν σκεπτόμεθα ἀντὶ τοῦ σκεπτώμεθα, ἀλλὰ τὸ ἀδιεξήγητον ἐτηρήθη ἀμετάβλητον.

Κυκλεῖται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τὸ ῥῆμα διηγεῖσθαι· εἶνε δ' ἐξ αὐτοῦ μετὰ τοῦ ἀποφατικοῦ Α παρηγμένον τὸ ἐπίθετον ἀδιήγητος, οὗ γίνεται χρῆσις ἔν τε τῷ παλαιῷ καὶ τῷ μεταγενεστέρῳ ἑλληνισμῷ. Γνωστὸν παντὶ φιλολογοῦντι ὑπάρχει τὸ ὑπὸ τοῦ Ξενοφῶντος ῥηθὲν ἐν τῇ Κύρου Παιδείᾳ Ζ', α', 32 «ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ ὑπὸ τῶν παντοδαπῶν σωρευμάτων ἐξαλλομένων τῶν τροχῶν ἐκπίπτει ὁ Ἀβραδάτας». Γράφει δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1859, σελ. 234 «Dixerat Xenophon in Cyropaed. VII, ι, 32: ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ — ἐκπίπτει ὁ Ἀβραδάτας, arripuit hoc Chariton p. 121, 12: ἐν ἐκείνῳ τῷ ἀδιηγήτῳ ταράχῳ μνήμη τις αὐτὸν εἰσῆλθε τοῦ κάλλους, et iterum p. 129, 31: ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ μόνος ἐσωφρόνησε Χαιρέας». Ὑπὸ τοῦ Πλουτάρχου ἐλέχθη Φαβ. ΙΑ' «ἀδιήγητος κατεῖχε ταραχὴ καὶ πτοία τοὺς Ῥωμαίους;».

Ἀλλὰ τὸ ῥῆμα διεξηγεῖσθαι ἦτο ἄχρηστον τοῖς Ἕλλησιν. Ἀσύστατος εἶνε ἡ ἐν τοῖς Ἀπομνημονεύμασι τοῦ Ξενοφῶντος Δ', β', 12 φερομένη γραφὴ «οὕτως οἱ δίκαιοι τὰ αὑτῶν ἔχοιεν ἂν διεξηγήσασθαι», ὡς διδάσκει ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 702 λέγων «Tralaticio mendo in IV. II. 12. διεξηγήσασθαι scribitur. Vera lectio ἐξηγήσασθαι a Stobaeo servata est, qui in § 14. pro κακουργεῖν multo meliorem lectionem κλέπτειν obtulit. Saepius notavimus δι et ἐξ inter se confundi, aut ex dittographia perperam coniungi. Novum exemplum praebet Teles in Stobaei Floril. 5, 67. οὐ Κράτης καὶ Διογένης πένητες ἦσαν; καὶ πῶς ῥᾳδίως διεξήγαγον; imo vero ῥᾳδίως διήγαγον» (Πρβ. καὶ Κοραῆν

ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων καὶ τοῦ Πλάτωνος Γοργίου σελ. 293). Παρατηρητέον δ' ὅτι παρὰ μὲν τῷ Θεμιστίῳ σελ. 435, 22 Δινδ. εἶνε γεγραμμένον «δεῖ δ' οὐ πρὸς τὰ φαῦλα καὶ διεστραμμένα ὁρῶντας ἅπαντα ὁμοίως ὑποπτεύειν καὶ διεξελαύνειν», παρὰ δὲ τῷ Στοβαίῳ Ἀνθολογ. Τόμ. Α', σελ. 42, 13 Μειν. «δεῖ δ' οὐ πρὸς τὰ φαῦλα — ἐξευλαύνειν».

Ἐπειδὴ ἀλλότριον τῆς τῶν Ἑλλήνων φωνῆς εἶνε τὸ ῥῆμα διεξηγεῖσθαι, ἐξελέγχεται ἀνελλήνιστον ὂν καὶ τὸ ἐπίθετον ἀδιεξήγητος. Οὐδεμία δ' ἀμφιβολία ὑπάρχει ὅτι ἔγραψεν ὁ Φίλων «σκεπτόμεθα δ' ἡμεῖς καὶ ἐφ' ἑνὸς ἀνδρὸς τὸ ἀδιεξίτητον τῶν κακῶν πλῆθος», καθάπερ ἐν Τόμ. Γ', σελ 122 «σήμερον δέ ἐστιν ὁ ἀπέραντος καὶ ἀδιεξίτητος αἰών» καὶ ἐν Τόμ. Δ', σελ. 276 «ὡς ἔτι μᾶλλον τὸν ἀνήνυτον καὶ ἀδιεξίτητον ἐπιτείνεσθαι τοῦ καταλαβεῖν ἵμερον». Κακῶς δ' ἐν Τόμ. Β', σελ. 12 εἶνε γεγραμμένον «ἄλλων ἀριθμὸς δυνάμεων διεξιόντος» ἀντὶ τοῦ ἀδιεξίτητος· εὑρέθη δὲ πρὸ πολλοῦ ἡ ἀληθὴς γραφὴ οὖσα ἀδιεξίτητος.

Οὐκ ὀλίγα δὲ μαρτύρια τοῦ ἐπιθέτου ἀδιεξίτητος ἔχομεν νὰ καταλέξωμεν.

Ἀριστοτέλ. Φυσ. Ἀκροάσ. Γ', ζ', 5 (Τόμ. Β', σελ. 284, 3 Διδ.) «οὐκ ἀφαιρεῖται δ' ὁ λόγος οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν, ἀναιρῶν οὕτως εἶναι τὸ ἄπειρον, ὥστ' ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξην ὡς ἀδιεξίτητον».

Σέξτ. Ἐμπειρ. σελ. 658, 19 Βεκκ. «ἀπὸ ψευδοῦς ὑποθέσεως ἀρχομένης καὶ ἀδιεξιτήτου κατὰ πλῆθος καὶ πρὸς τὴν ἑκάστου προαίρεσιν μεταπλαττομένης».

Θεμίστ. Παραφρ Τόμ. Α', σελ. 111, 13 Σπεγγ. «τὸ μὲν γὰρ ποσὸν ἀδιεξίτητον, τὸ δὲ ποσὸν ὡρισμένον».

Γρηγόρ Νύσσ. Τόμ. Α', σελ. 811, Α' «οἷον ἀπό τινος κορυφῆς ὅρους εἰς τὸ ἀδιεξίτητον τῶν νοημάτων βάθος».

Ἰουλιαν. σελ. 218, 26 Ἑρτλ. «τὸ μὲν γὰρ ἴσον ὡρισμένον ἐστί, τὸ δὲ ἄνισον ἄπειρόν τε καὶ ἀδιεξίτητον».

Πορφύρ. Ὁμηρ. Ζητήμ. εἰς Ἰλ. σελ. 189, 6 Σραδ. «εἰ μὲν οὖν ἡ τοῦ ἀπείρου φωνὴ ἓν σημαινόμενον περιεῖχε, τὸ κατὰ ποσὸν ἀδιεξίτητον καὶ ἀπειρομέγεθες, ἐναντιολογία ἂν ἦν» καὶ 15 «ὡρισμένοι μὲν κατὰ μέγεθος, κατὰ δὲ πλῆθος ἀδιεξίτητοι ὄντες» καὶ σελ

190, 13 «ὡσαύτως δὲ καὶ τὴν σφαῖραν οὔτε ἄπειρον καὶ ἀδιεξίτητον οὖσαν κατὰ μέγεθος οὔτε κατὰ ἀριθμόν» καὶ σελ. 192, 24 «ἀδύνατον δὲ καὶ ἐπὶ τοῦ κατὰ μέγεθος ἢ κατὰ ποσὸν ἀδιεξιτήτου ἀπείρου τίθεσθαι πέρας».

Ὀρειβάσ. Τόμ. Β', σελ. 320, 4 Δαρ. «ἐὰν δὲ πάσας μήτε παραλλήλους τὰς ἀγυιὰς ἔχῃ μήτε εὐθείας, σκολιὰς δὲ ἢ ἀδιεξιτήτους τινὰς αὐτῶν καὶ πρὸς τοὺς ἀνέμους λοξάς, πολλὴν τοῦ ἀέρος ταραχὴν ἔχει» καὶ 9 «ἐμπίπτων οὖν ταῖς ἀδιεξιτήτοις οὐκ εἰσέρχεται διὰ τὸ μὴ εἶναι ὁδόν».

Συμπλίκ. Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. Ζ', σελ. 204, 12 «εἰ δὲ τοῦτο, ἀδιεξίτητον ἔσται τοῦτο τὸ διάστημα» καὶ σελ. 205,23 «τὸ δὲ ἐπ' ἄπειρον αὐξόμενον οὐκ ἔχει πέρας· ἄπειρον ἄρα καὶ ἀδιεξίτητον» καὶ σελ. 206, 6 «εἰ γὰρ τὸ μεταξὺ διάστημα δυεῖν εὐθειῶν ἀλλήλων πλησίον ἀπὸ τοῦ κέντρου ἐκβαλλομένων ἀδιεξίτητον, πολὺ μᾶλλον ἡ πᾶσα περιφέρεια» καὶ σελ. 209, 28 «οὐ γὰρ συνάγεται οὕτως τὸ ἄτοπον τὸ ἀδιεξίτητον αὐτὴν οὖσαν διεξιέναι» καὶ σελ. 210, 6 «εἰ οὖν ἀδύνατον ἄπειρον οὖσαν καὶ ἀδιεξίτητον τὴν ΒΒ διελθεῖν» καὶ 13 «ἵνα τῆς τομῆς ταύτης, καίτοι ἀδιεξιτήτου ὑποτιθεμένης, ἀρχὴν καὶ τελευτὴν ἐπιδείξῃ διὰ τῆς τοῦ Γ κυκλογραφίας» καὶ Τόμ. Θ', σελ. 76, 22 «τὸ μὲν ἄπειρον τὸ σημαῖνον τὴν ἀπειρίαν πάθος ἐστὶ ποσότητος, τὸ δὲ ἄπειρον τὸ πεπονθὸς τὴν ἀπειρίαν ποσόν ἐστιν ἀδιεξίτητον» καὶ σελ. 174, 14 «ὅτι δὲ τὸ ἄπειρον οὐχ ὡς ἀδιεξίτητον πάντῃ τῷ πλήθει λέγει» καὶ σελ. 470, 17 «ἀτελεύτητον δὲ ταύτην καὶ ἄπειρον καὶ ἀδιεξίτητον» καὶ 27 «τέταρτον δὲ τοῦ ἀπείρου σημαινόμενόν ἐστιν ὃ πεφυκὸς ἔχειν διέξοδον ἀδιεξίτητόν ἐστι» καὶ σελ. 471, 31 «οὐκ ἔστι δὲ τὸ νῦν ζητούμενον ἄπειρον, τὸ οὕτως λεγόμενον, ἀλλὰ τὸ ἀδιεξίτητον» καὶ σελ. 474, 66 «ἀριθμὸς μὲν γάρ ἐστι τὸ ἐκ μονάδων συγκείμενον πλῆθος, ἄπειρον δὲ ποσὸν ἀδιεξίτητον» καὶ σελ. 510, 19 «ὡς ὄντος ἀπείρου μεγέθους ἀδιεξιτήτου ἐπὶ τὴν αὔξησιν» καὶ σελ. 513, 24 «οὐ κατὰ τὸ ἀδιεξίτητον θεωρουμένου τοῦ ἀπείρου ἐπὶ τῆς στερήσεως καὶ τῆς ὕλης».

Ἀλέξ. Ἀφροδισ. Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. Β', 6', σελ. 86, 27 «ἀδιεξίτητα γὰρ τὰ καθ' ἕκαστα» καὶ Σχολ. Ἀπορ. καὶ Λύσ. (Συμπληρώμ. Ἀριστοτ. Τόμ. Β', 6', σελ. 35, 25) «ἀλλὰ ἀδιε-

ξίτητα τὰ ἄπειρα» καὶ σελ. 36, 15 «οὐ γὰρ ἔκειτο τὰ δυνάμει ἄπειρα ἀδιεξίτητα εἶναι, ἀλλὰ τὰ ἐνεργείᾳ».

Ἰω. Φιλόπον. Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 35, 3 «φαμὲν γὰρ ἄπειρον εἶναι ποσὸν ἀδιεξίτητον» καὶ σελ. 409, 18 «καθ' ἕνα μὲν τρόπον ἄπειρον λέγεται τὸ μηδὲ πεφυκὸς ὅλως ἔχειν πέρας, ἀλλ' οἷον ἀπόρευτον ὂν καὶ ἀδιεξίτητον τῷ μηδὲ ὅλως ἔχειν πορείαν διὰ τὸ μηδὲ ποσὸν ὅλως εἶναι» καὶ σελ. 411, 11 «ὡς ἀδιεξίτητον καὶ ἀτελεύτητον κατὰ τὴν ἔκτασιν εἶναι ἄπειρον» καὶ σελ. 430,3 «εἴπερ ὅλως κατὰ φύσιν ἀδιεξίτητόν ἐστι τὸ ἄπειρον» καὶ σελ. 459, 16 «ὅτι μὲν κατὰ μέγεθος οὐκ ἔστι τὸ ἄπειρον σῶμά τι ὂν ἀδιεξίτητον τῷ μεγέθει» καὶ σελ. 468, 7 «τῇ γὰρ ἑαυτοῦ φύσει τὸ ἄπειρον ἀδιεξίτητον».

Ἀνών. Παραφρ. εἰς τὴν Σοφιστ. Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΚΓ', δ', σελ. 33, 16 «τὰ δὲ ἄπειρα ἀδιεξίτητα» καὶ σελ. 56, 24 «ἃ δήπουθεν ἄπειρα καὶ ἀδιεξίτητα».

Σωκράτ. Σχολαστ. Ἐκκλησ. Ἱστορ. σελ. 120 Οὐσσ. «καὶ ἦν ἄπορος μὲν ἡ θήρα, ἀδιεξίτητος δὲ ἡ ὁδός».

Φώτ. Ἐπιστολ. σελ. 500, 5 Βαλ. «εἰ καὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς διὰ βάθος κριμάτων ἀνεξιχνίαστον καὶ σοφίας ἀδιεξίτητον πέλαγος οὐκ ἀεὶ πέφυκε γίνεσθαι ἐφικτά». Πρβ. καὶ Βιβλιοθ. σελ. 215, 32 «ἀλλὰ τίς διεξιέναι φιλονεικοίη τὰ ἀδιεξίτητα ;».

Εὐστάθ. Μικρ. Συγγρ. σελ. 84, 46 «ποικίλα ὄντα καὶ ἀδιεξίτητα» καὶ σελ. 184, 20 «ἀλλ' ἵνα μὴ τοῦ στύλου ἀποπλανηθέντες ὡς ἔν τινι λαβυρίνθῳ ταῖς τῶν ἐπιβούλων οἴκων ἐναποληφθῶμεν σήραγξιν εἰς ἀδιεξίτητον».

Μιχ. Ἀκομιν. Τόμ. Β', σελ. 127,20 Λάμπρ. «τὸ δὲ ἀεὶ καταδεσμεῖσθαι ὑποχθόνιον οὐδέν ἐστιν ἕτερον ἀλλ' ἢ Τιτάνων ἀδιεξίτητον δεσμωτήριον».

Σχολ. Εὐκλείδ. Τόμ. Ε', σελ. 139, 4 Εἰβ. «ὃ γὰρ ὡς ἀδιεξίτητον ἀφῆκε, τοῦτο ἄπειρον λέγει».

Τοῦ ἐπιθέτου ἀδιεξίτητον ποιεῖται μνείαν ὁ Σουΐδας ἐξηγούμενος αὐτὸ διὰ τοῦ ἀδιεξέλευστον σελ. 26 Βεκκ.

Ὁ Κρευζῆρος γράφει ἐν τῇ ἐκδόσει τοῦ Πλωτίνου Τόμ. Γ', σελ. 108 «καὶ εἰ οὕτως ἄπειρον, ὡς ἀδιεξίτητον: Haec ultima vox saepius legitur in his Enneadibus, ut VI. 6. 17. VI. 9. 6.

Proclus Inst. Theol. § 94. p. 140. ed. nostr. Francf. καὶ εἴτι ἄλλο τοιοῦτον, ἢ διὰ τὸ ἀδιεξίτητον ἄπειρον ὑπάρχον, ἢ διὰ τὸ ἀόριστον τῆς οὐσίας· ubi haec posui: «Aristoteles in Phys. Auscultt. III. 7. p. 58 Sylb. οὐκ ἀφαιρεῖται δὲ ὁ λόγος οὐδὲ τοὺς μαθηματικοὺς τὴν θεωρίαν, ἀναιρῶν οὕτως εἶναι τὸ ἄπειρον, ὥστε ἐνεργείᾳ εἶναι ἐπὶ τὴν αὔξησιν, ὡς ἀδιεξίτητον. Nam ita distinguebant infinitum philosophi, ut τὸ ἄπειρον esset vel ἀδιεξίτητον, vel ποσὸν ὡρισμένον, i. e. quantitas, quae vel penetrari non posset, neque adeo definiri ac circumscribi, vel quae circumscribi posset. Cf. Themistium in Physs. I Hinc Suidas I. p. 53. ἀδιεξίτητος explicat ἀδιεξέλευστος. Zonaras L. Gr. p. 47. addit τὸ ἀπόρευτον».

Τῶν ἐν τοῖς ἄνω κατειλεγμένων μαρτυρίων τοῦ ἐπιθέτου ἀδιεξίτητος μνημονεύονταί τινα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', α', σελ. 671, ἔνθα φέρονται καὶ τάδε· «Ἀδιεξήγητος, ον, a διεξηγέομαι, Inenarrabilis, Eust, ad Il. Δ, p. 397 9: Τὰ δὲ ἐν τοῖς ἑξῆς, πέλαγός ἐστιν εὐπορίας ἀδιεξήγητον. Struve. Ἀδιεξήγητον edd. Basil. et Florent.; Rom. et Lips. ἀδιεξίγητον (sic). Fort. ἀδιεξίτητον scribendum est. Sinner—Ap. Achm. Onirocr. 141, p. 105, l. 12 adhuc legitur, μακρὰν καὶ ἀδιεξήγητον. At Clem. Al. Strom. 5, 12, p. 695, l. 19: Ἄπειρον, οὐ κατὰ τὸ ἀδιεξήτητον (sic) νοούμενον, ἀλλὰ κατὰ τὸ ἀδιάστατον, item recte, opinor, emendat Potter ἀδιεξίτητον, Non quod eiusmodi percipiatur, ut pervadi non possit. In ed. C. Morell. ἀδιεξηγήτητον Hase». Ὁ Γ. Δινδόρφιος σημειοῦται ἐν τῇ ἐκδόσει Κλήμεντος τοῦ Ἀλεξανδρέως Τόμ. Γ', σελ. 64 «ἀδιεξίτητον, vel ἀδιεξήγητον Sylb. ἀδιεξήτητον L. Alia huius corruptelae exempla v. in Thesauro vol. I. p. 671».

Σημειωτέον δ' ὅτι ἀνεγνώσθη πλημμελῶς ἀδιεξήγητον ἀντὶ τοῦ ἀδιεξίτητον καὶ παρὰ Δαμασκίῳ τῷ Διαδόχῳ Ἀπορ. καὶ Λύσ. Τόμ. Β', σελ. 55, 4 «ἆρα οὖν ταῖς ἡμετέραις ἐπιβολαῖς ἀδιεξήγητον; καὶ τί τοῦτο θαυμαστὸν ἐπὶ τῶν νοητῶν; ὅ γε καὶ ἐν τῷ ιθητικῷ κύκλῳ φαίνεται. Πῶς δὲ καὶ ἀδιεξήγητον; εἰ γὰρ καὶ ιὸς ἕνα βίον, ἀλλ' ἔν γε τῷ παντὶ χρόνῳ διεξοδεύσει τὸ νοητὸν ἡ ιχή, εἴπερ πεπέρασται». Περὶ τοῦ ἀδοκίμου τύπου πεπέρασται τὶ τοῦ πεπέρανται θὰ ῥηθῶσι τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ».

Παρατηροῦμεν δ' ὅτι καὶ τὸ ἐξιτητέον μετέπεσεν ὑπὸ κακῆς ἀναγνώσεως εἰς τὸ ἐξηγητέον. Ὑπὸ τοῦ Ξενοφῶντος ἐλέχθη Ἀπομν. Α', α', 14 «καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν», ἐν δὲ ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου πρὸς τῇ ὀρθῶς ἐχούσῃ γραφῇ φέρεται καὶ ἡ ἡμαρτημένη «τοῖς δ' οὐκ ἐξηγητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν». Ὁ Οὐαξμούθιος γράφει ἐν τῇ ἐκδόσει τῶν Ἐκλογῶν τοῦ Στοβαίου Τόμ. Β', σελ. 12 «ἐξιτητέον A^2S Xen., ἐξηγητέον A^1B».

Τοῦ ἄνευ τοῦ στερητικοῦ Α ἐπιθέτου ἐξιτητός ἓν μόνον μαρτύριον μνημονεύεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 1441 «Διεξίτητος, ὁ, ἡ, Meabilis. Oribas. p. 244 ed. Matth.». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Σιμπλικίῳ Ὑπομν. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 470, 26 «Τέταρτον δὲ τοῦ ἀπείρου σημαινόμενόν ἐστιν ὃ πεφυκὸς ἔχειν διέξοδον ἀδιεξίτητόν ἐστι Τοιαύτη δὲ ἡ διὰ τῆς κεκαυμένης ὁδὸς ἢ τῆς κατεψυγμένης, διεξιτητὴ μὲν οὖσα τῷ ὡρίσθαι τὸ μέγεθος αὐτῶν, κωλυομένη δὲ ὑπὸ τῆς τοῦ ἀέρος ἀσυμμετρίας. Ἐν δὲ τῷ τοιούτῳ καὶ τὸν λαβύρινθον τέθεικεν ὁ Ἀλέξανδρος τὸν οὕτω κατεσκευασμένον ὡς ἀδιέξοδον εἶναι καὶ τὸν ἄπειρον δακτύλιον, ὡς διεξίτητα (γρ. διεξιτητὰ) μὲν τῇ ἑαυτῶν φύσει τῷ πεπερασμένα εἶναι, διὰ δὲ τὴν ποιὰν κατασκευὴν ἀδιέξοδα» καὶ Τόμ. Ι', σελ. 1179, 23 «εἰ μηδὲ ἅπαξ διεξιτητὸν ἐνδέχεται εἶναι τὸ ἄπειρον» καὶ παρ' Ἰωάννῃ τῷ Φιλοπόνῳ Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 429, 1 «ἀλλὰ καὶ διεξιτητὸν ἔσται τὸ κατ' ἐνέργειαν ἄπειρον» καὶ 4 «δῆλον ὅτι ἐνεργείᾳ διεξιτητὸν τὸ ἄπειρον γέγονεν» καὶ 25 «ὅλως δὲ καὶ ἐπὶ τοῦ συνεχοῦς εἰ διεξιτητὸν τὸ ἐπὶ θάτερα ἄπειρον, πάντως που καὶ ἐπὶ τὸ λοιπὸν διεξιτητὸν ἔσται» καὶ σελ. 430, 6 «ὅτι τὸ μὲν ἐνεστηκὸς οὐ πάντως διεξιτητὸν ἀνάγκη εἶναι, τὸ δὲ παρεληλυθὸς ἐξ ἀνάγκης διεξιτητόν ἐστιν, ὅπερ ἀδύνατον».

Ὡς δὲ λέγεται ἀδιεξίτητος, οὕτω καὶ δυσδιεξίτητος, οὗ παραδείγματα βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 1737. Κεῖται δὲ καὶ παρὰ τῷ Κεδρηνῷ Τόμ. Β', σελ. 711, 7 Βόνν. «καὶ ταῦτα δι' ὀρέων ἀβάτων καὶ δυσδιεξιτήτων».

Ὑπάρχει δὲ καὶ ἐπίθετον δυσεξίτητος, περὶ οὗ γίνεται λόγος ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 1745 καὶ σελ. 1746 λ. δυσεξίτητος καὶ λ. δυσέξιτος. Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβο-

λαῖς τοῦ Εὐσταθίου φέρεται σελ. 695, 37 «τὴν διηνεκῆ καὶ δυσεξίτητον τῶν κατὰ γῆς ὑδάτων καὶ πνευμάτων ἔγκλεισιν δηλοῖ» καὶ σελ. 940, 4 «πυλάρτης δὲ διὰ τὸ δυσεξίτητον, ἔτι δὲ καὶ διὰ τὸ δυσόρατον» καὶ σελ. 1459, 45 «οὐ μάτην οὖν ὁ ποιητὴς ἐν Ἰλιάδι τὰ ἐκ τοῦ πρώτου ἔτους Τρωϊκοῦ πολέμου παραλιπὼν διὰ τὸ δυσεξίτητον» καὶ σελ. 1684, 44 «πυλάρτης δὲ ὡς καὶ ἀλλαχοῦ ἐρρέθη Ἅδης ὁ τὰς πύλας ἀραρυίας ἔχων διὰ τὸ ἐκεῖθεν δυσεξίτητον».

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Ἀνεξίτητον: ἀνεξέλευστον, ἀσάλευτον, ἀδιάβατον, μὴ ἔχον ἔξοδον». Πρβ. καὶ Σουίδ. σελ. 106 Βεκκ. «Ἀνεξίτητον: ἀνεξέλευστον, ἀδιόδευτον» καὶ Βεκκ. Ἑλλην. Ἀνέκδ. σελ. 397 καὶ Ζωναρ. Λεξ. σελ. 190. Ἐσφαλμένον δὲ πάντως εἶνε τὸ παρὰ τῷ Ἡσυχίῳ φερόμενον ἀσάλευτον.

Παρατηροῦμεν ἐν τέλει ὅτι ἐγράφη κατὰ πλημμελῆ ἀνάγνωσιν καὶ δυσζητήτους ἀντὶ τοῦ δυσεξιτήτους. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Β', σελ. 734, Δ' λέγεται «Lex. Rhet. post supra citata: Καθόλου δὲ ἔλεγον οὕτω τὰς δυσζητήτους κατασκευὰς καὶ μὴ ἐπ' εὐθείας. Ὁ δὲ Ἀλκμὰν διὰ τοῦ ε γέργυρα ἔφη· ubi scrib. δυσεξιτήτους cum Etym. M. p. 238, 41 «Γόργυρα, ὑπόνομος βορώδης (βορβορώδης Sylb.)· καθόλου δὲ ἔλεγον· οὕτω τὰς δυσεξιτήτους κατασκευὰς καὶ μὴ ἐπ' εὐθείας».

ΚΕΦ. Ε'.

Εἰσιτητά — εἰσηγητά.

Παρ' Ἰωάννῃ τῷ Κιννάμῳ σελ. 6, 12 Βόνν. ἀπαντᾷ «καὶ ἀνθρώποις γὰρ ὅτι μὴ κατ' ὀλίγους πορευομένοις μόλις ἐπὶ τὴν πόλιν εἰσηγητὰ γίνεται».

Τὸ εἰσηγητά οὐδὲν ἄλλο εἶνε ἢ πλημμελὴς ἀνάγνωσις τοῦ εἰσιτητά. Ὁ Κίνναμος ἀναντιλέκτως ἔγραψε «μόλις ἐπὶ τὴν πόλιν εἰσιτητὰ γίνεται», τουτέστι «μόλις ἐπὶ τὴν πόλιν εἰσιέναι δυνατὸν γίνεται». Πρβ. καὶ σελ. 50, 17 «κἀντεῦθεν παντάπασιν ἀδιεξίτητα αὐτῷ ἔσται» καὶ σελ. 122, 19 «νύκτωρ τῶν πολεμίων ἐπιθεμένων ἀδιεξίτητα ἡμῖν ἔσται». Ἐγένετο δ' ὑπὸ τοῦ Κιννάμου χρῆσις καὶ

τοῦ ἐπιθέτου διεξιτητός σελ. 47, 3 «ἔστι δὲ ὁ χῶρος δυσπρόσοδός τε εἴπερ τις καὶ ἀνδράσι μὴ ὅτι γε συντεταγμένοις, ἀλλ' οὐδὲ πορευομένοις κατ' ὀλίγους ῥᾳδίως διεξίτητος (γρ. διεξιτητός)».

Τῇ συντάξει, καθ' ἣν ἐρρήθη «μόλις ἐπὶ τὴν πόλιν εἰσιτητὰ γίνεται», φιληδεῖ ὁ Προκόπιος λέγων Τόμ. Α', σελ. 285, 11 «αὐτῷ δὲ ξὺν ὀλίγοις τισὶν ἐς πόλιν Δάρας ἐσιτητὰ εἶναι». σελ. 293, 20 «ὡς μὴ ἐς τὴν πόλιν αὐτίκα τῷ Ῥωμαίων στρατῷ ἐσιτητὰ εἶναι». σελ. 331, 6 «ἀπ' οὐδεμιᾶς αἰτίας ἐξαπιναίως καταπεσεῖν καὶ τοῖς πολεμίοις ταύτῃ ἐσιτητὰ ἐς τὴν πόλιν γενέσθαι». σελ. 380, 4 «ὥστε ἐσιτητὰ τῷ στρατῷ ἐς αὐτὴν γενέσθαι». (σελ. 392, 4 «τὰς σιδηρᾶς ἁλύσεις τοῦ λιμένος — ἀφελόμενοι ἐσιτητὰ τῷ στόλῳ ἐποίουν»). Τόμ. Β', σελ. 48, 8 «ἣν πολέμῳ ἐς Νεάπολιν τῷ στρατῷ ἐσιτητὰ εἴη». σελ. 76, 10 «ᾠήθη ἐσιτητά οἱ ἐς Ῥώμην εἶναι». σελ. 87, 1 «ἐς Ῥώμην δὲ σφίσιν οὐκ οἰόμενοι ἐσιτητὰ εἶναι ἐπὶ Καμπανίας λάθρᾳ ἐχώρησαν». σελ. 339, 6 «οἰόμενοι ὅτῳ δὴ τρόπῳ τοῖς τὰ φορτία παραπέμπουσιν ἐς τὴν Ῥώμην ἐσιτητὰ εἶναι». σελ. 351, 15 «ὡς μηκέτι ἀκάτοις τισὶν ἢ πλοίοις ἄλλοις, ἐκ τοῦ πόρτου ἀναγομένοις, ἐς τὴν πόλιν ἐσιτητὰ εἴη». σελ. 361, 11 «ὅθεν οἱ ἄνθρωποι Γότθοις ἔφασκον ἐς τὴν πόλιν ἐσιτητὰ εἶναι». (σελ. 443, 1 «ἀναστάντες οὖν οἱ ἐκ τῶν ἐνεδρῶν κατόπισθέν τε τῶν διωκόντων γενόμενοι ἐσιτητὰ σφίσιν ἐς τὴν πόλιν οὐκέτι ἐποίουν»). Τόμ. Γ', σελ. 18. 21 «ὅπως δὲ καὶ αὖθις Θεοδοσίῳ παρὰ Ἀντωνῖναν ἐσιτητὰ εἴη». σελ. 92, 22 «παρὰ δὲ τὴν βασιλίδα οὐδὲ τῶν ἀρχόντων τινὶ ὅτι μὴ χρόνῳ τε πολλῷ καὶ πόνῳ ἐσιτητὰ ἦν». σελ. 214, 17 «διεπράξαντο τῷ ὕδατι ἐς τὴν πόλιν ἐσιτητὰ εἶναι». σελ. 219, 4 «ἐνταῦθα ἐσιτητὰ μηδαμῇ ἔσεσθαι». σελ. 272, 5 «ἐνθένδε τοῖς βαρβάροις ἐσιτητὰ ἐπί τε Θερμοπύλας οὐδενὶ πόνῳ ἐγίνετο καὶ τὴν ταύτῃ Ἑλλάδα». (σελ. 322, 16 «ἐκτέμνοντες ἐπὶ πλεῖστον τὰ ὄρη ἐσιτητὰ ταῖς ἐπιγενομέναις ἁμάξαις ἐποίουν»). σελ. 330, 6 «διώρυχα ἐκ τῆς Χαιρέου κατορύξαντες βαθεῖάν τινα βραχείᾳ τοῦ ποταμοῦ ἐς αὐτὴν ἐκροῇ διεπράξαντο ἐσιτητὰ εἶναι». Πρβ. καὶ Τόμ. Α', σελ. 412, 21 «ἐξιτητὰ μὲν σφίσιν ἐπὶ τοὺς πολεμίους ἐν τῷ παρόντι οὐκ ᾤετο εἶναι» καὶ Τόμ. Β', σελ. 96, 4 «κατὰ ταύτης γὰρ ἐπίμαχός τε ὁ περίβολος ἦν καὶ Ῥωμαίοις ἐξιτητὰ ἐπὶ τοὺς πολεμίους ὄντα ἐτύγχανε».

Κεῖται δὲ καὶ παρὰ Νικηφόρῳ τῷ Γρηγορᾷ Τόμ. Β', σελ. 620, 1 «μηδ' εἶναι πάροδον οὐδεμίαν, ὁπόθεν εἰσιτητά γε εἴη ξένοις καὶ ἱππόταις ἀνδράσι». Πρβ. καὶ Γεώργ. Παχυμέρ. Τόμ. Α', σελ. 478, 4 «εἰσιτὰ ἐς οἶκον κυρίου».

Καθ' ἑνικὸν ἀριθμὸν εἶνε εἰρημένον ὑπὸ τοῦ Ἀλκίφρονος Ἐπιστολ. Α', κγ', 3 «ὡς οὖν ᾐσθόμην οὐκ εἶναί μοι εἰς ταῦτα εἰσιτητόν» καὶ ὑπὸ τοῦ Θεμιστίου Λόγ. σελ. 429, 27 Δινδ. «οὐ μηδὲ εἰσιτητὸν οὐδενὶ πλὴν τῶν ἐκκρίτων» καὶ ὑπὸ τοῦ Θεοδωρήτου Τόμ. Α', σελ. 162 «οὕτως ἔξω μὲν τοῦ καταπετάσματος εἰσιτητὸν ἦν τοῖς ἱερεῦσι» καὶ σελ. 468 «μόνοις γὰρ τοῖς ἱερεῦσιν εἰσιτητὸν ἦν εἰς τὸν πρῶτον ναὸν τὸν καλούμενον ἅγια» καὶ Τόμ. Β', σελ. 206 «μόνῳ γὰρ εἰσιτητὸν ἦν τῷ ἀρχιερεῖ εἰς τὰ ἅγια τῶν ἁγίων» καὶ σελ. 208 «εἰσιτητὸν ἦν εἰς τὸν οἶκον τῷ βουλομένῳ λοιπόν» καὶ σελ. 649 «εἰς μὲν τὰ ἅγια τῶν ἁγίων μόνῳ τῷ ἀρχιερεῖ εἰσιτητὸν ἦν» καὶ Τόμ. Δ', σελ. 836 «ὅθεν οὐ μόνον ἀνδράσιν ἀλλὰ καὶ γυναιξὶν εἰσιτητὸν εἰς τοὺς θείους νεώς». Πρβ. καὶ Τόμ. Γ', σελ. 1279 «ἐπειδὴ γυναιξὶν οὐκ εἰσιτὸν ἦν» (Ἴδε Βοισσονάδην ἐν τῇ ἐκδόσει Γ. Παχυμέρους καὶ Ἱεροκλέους καὶ Φιλαγρίου σελ. 26).

Εἰς τὸ τοῦ Ἀλκίφρονος εἰσιτητόν ἐποιήσατο ὁ Βεργλῆρος τὴν παρατήρησιν τήνδε (σελ. 213 Σειλ.) «hic εἰσιτητόν est gerundium indeclinabile, ut ἐξιτόν apud Hesiodum in theogonia v. 731, ubi de Titanibus Tartaro inclusis, τοῖς — οὐκ ἐξιτόν ἐστι — *his exire non datur*. ab εἶμι autem utrumque. et sicut εἰσιτητόν dicitur, ita et ἐξιτητόν dici potest (ut libr. 3 ep. 30 § 1): sicut ἐξιτόν, ita et εἰσιτόν, vi vocis manente, quemadmodum in ἰτητέον et ἰτέον».

Ὁμοία χρῆσις ἐγένετο τοῦ παριτητόν ὑπὸ τοῦ Κέλσου παρ' Ὠριγέν. Τόμ. Κ', σελ. 28 «μηδὲ παριτητὸν εἶναι πρὸς τὸν πατέρα τῷ πλουτοῦντι ἢ φιλαρχιῶντι» καὶ σελ. 37 «μὴ παριτητὸν εἶναι πρὸς τὸν πατέρα τῷ σοφῷ» καὶ σελ. 38 «οὐ μόνον παριτητὸν πρὸς τὸν πατέρα τῷ οὕτω σοφῷ λέγομεν εἶναι» καὶ ὑπὸ τοῦ Συνεσίου Ἐπιστολ. σελ. 212, Γ' «οὐ γάρ ἐστι παριτητὸν ἐπὶ τὸν οἶκον»· οὕτω γραπτέον ἀντὶ τοῦ παριτητέον.

Ὁ Ἀσώπιος γράφει ἐν τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 486, § 13 ἐκδ. 6' «Τὰ τῆς πρώτης καὶ δευτέρας σημασίας, ὅταν ἦναι

ἀνάγκη νὰ ἐξηγηθῇ καὶ τὸ αἴτιον ὑφ' οὗ προῆλθε τὸ πάθος, ἐκφέρουσι τοῦτο κατὰ δοτικήν. Ὡς λέγεται εἴρηταί μοι —, οὕτω καὶ ῥητόν μοι· α΄ = εἴρηταί μοι· β΄ = δυνατόν μοι ῥηθῆναι· τοῖς οὐκ ἐξιτόν ἐστιν (Ἡσ. Θ. 735) = οἷς οὐ δυνατὸν ἐξιέναι = οἳ ἀδυνατοῦσιν ἐξιέναι. — ἆρα γρυκτόν ἐστιν ὑμῖν; (Ἀρφ. Λυσ. 636) = ἔστι δυνατὸν ὑμῖν γρύξαι (γρ. γρῦξαι); Τὰ δὲ ἐνεργητικῶς ἐκλαμβανόμενα συντάσσονται μετ' ἀπαρεμφάτου, ὡς τὰ ἔχοντα τὴν ἔννοιαν τῆς ἱκανότητος τοῦ παραγαγεῖν τι» καὶ σελ. 490, § 126 «Ὁ πληθυντικὸς ἀριθμὸς τίθεται καὶ ἐπὶ τῶν εἰς τός· οὐκέτι πιστὰ γυναιξίν (Ὀδ. Λ, 456). — τὴν πεπρωμένην μοίρην (γρ. μοῖραν) ἀδύνατά ἐστιΝ ἀποφυγέειν καὶ θεῷ (Ἡρ. Α΄, 91). — βατὰ καὶ τοῖς ὑποζυγίοις ἔσται (Ξ. Ἀν. Δ΄, ς΄, 17). — ἐπεὶ δὲ ἄβατα ἦν, ἔσπευδε πεζῇ (Ξ. Ἀν. Γ΄, δ΄, 49). Καὶ ἐπὶ τῶν εἰς ιμος, συγγενευόντων τοῖς εἰς τός (§ 111)· οὐκ ἂν ἦν βιώσιμα ἀνθρώποισι (Ἡρ. Γ΄, 109). — βιωτὸν ἀνθρώπῳ. (Πλ. Συμποσ. 211). — ἕως ἦν βάσιμα (Ξ.). Ἀλλὰ καὶ ἄλλων ἐπιθέτων, χαλεπά, αἰσχρά, ἀχθεινά, κτλ. Ὡσαύτως ἐπεὶ δὲ πλωιμώτερα ἐγένετο (Θ. Ἴδε § 75-77 καὶ § 90). Ὡσαύτως δὲ καὶ κατὰ μετοχήν· δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν (Σ. Ἀντ. 576) = δεδογμένον ἐστίν». Πρβ. Κόβητον ἐν *Nov. Lect*, σελ. 215 «nullo negotio Atticam scripturam recipiet ᾔδησθα κηρυχθέντα id est ὅτι ἐκηρύχθη; ubi κηρυχθέντα positum est ut δεδογμένα pro δεδογμένον in eadem fabula 576. δεδογμέν', ὡς ἔοικε τήνδε κατθανεῖν». Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Ἡροδότου βιβλ. Α΄, 112 «οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται», ὡς ἐδηλώθη ἐν τῇ Ἀθηνᾷ 1898, σελ. 315. Περὶ τῆς χρήσεως τοῦ πληθυντικοῦ ἀδύνατα ἀντὶ τοῦ ἑνικοῦ ἀδύνατον ἴδε Ἐφημερ. Φιλομαθ. 1878, σελ. 2.

Τῷ βιωτὸν ἐχρήσατο ὁ Πλάτων καὶ ἐν τῷ Κρίτωνι σελ. 47, Ε΄ «ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ;» καὶ «ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος;» καὶ «ἀλλὰ μετ' ἐκείνου ἄρ' ἡμῖν βιωτὸν διεφθαρμένου, ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν;» καὶ ἐν ἄλλοις διαλόγοις. Ἐφ' ὁμοίας δ' ἐννοίας εἶπεν ὁ Ἡρόδοτος βιβλ. Α΄, 45 «οὐδέ οἱ εἴη βιώσιμον». Ὡς δ' ἐλέχθη βιωτόν, οὕτω καὶ ἀβίωτον ὑπὸ τοῦ Εὐ-

ριπίδου Ἡρ. Μ. 1257 «ἀναπτύξω δέ σοι ἀβίωτον ἡμῖν νῦν τε καὶ πάροιθεν ὄν» καὶ Ἴων. 670 «εἰ μὴ γὰρ ἥτις μ' ἔτεκεν εὑρήσω, πάτερ, ἀβίωτον ἡμῖν».

Κατὰ τὸν αὐτὸν τρόπον εὑρίσκονται τεθειμένα τὸ ἐπιβατόν παρὰ τῷ Ἡροδότῳ βιβλ. Δ', 62 «καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ απότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν» καὶ τὸ εὐεπίθετον καὶ τὸ προσβατόν παρὰ τῷ Ξενοφῶντι Ἀναβ. Γ', δ', 20 «εὐεπίθετον ἦν ἐνταῦθα τοῖς πολεμίοις» καὶ Δ', γ', 12 «οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι προσβατὸν εἶναι κατὰ τοῦτο». Πρβ. καὶ Δ', η', 12 «ᾗ τε ἂν εὔοδον ᾖ, ταύτῃ ἕκαστος ἄξει» καὶ Αἰσχύλ. Πέρσ. 688 «ἔστι δ' οὐκ εὐέξοδον, ἄλλως τε πάντως χοὶ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι». Ἴδε Στείνιον εἰς Ἡρόδ. Τόμ. Β', σελ. 223 ἐκδ. ϐ' καὶ Ῥεδάντζιον εἰς Ξενοφ. Ἀνάβ. Τόμ. Β', σελ. 21 ἐκδ. δ'.

Ὀρθῶς ὁ Κόϐητος τὸ ἐν τοῖς Χαρακτῆρσι τοῦ Θεοφράστου ΚϚ' φερόμενον «διὰ τοὺς συκοφάντας οὐκ οἰκητέον ἐστὶν ἐν τῇ πόλει» μετέϐαλεν εἰς τὸ «οὐκ οἰκητόν ἐστιν ἐν τῇ πόλει», ἤγουν «οὐκ ἔστι δυνατὸν οἰκεῖν ἐν τῇ πόλει» (Ἴδε ἃ ἐγράψαμεν ἐν κεφ. Β', σελ.440).

Κατελέξαμεν ἐν τοῖς ἄνω μαρτύρια τοῦ πληθυντικοῦ ἐσιτητά καὶ ἐξιτητά ἐκ τοῦ Προκοπίου. Παρατηροῦμεν δ' ἐνθάδε ὅτι ἐποιήσατο χρῆσιν ὁ Προκόπιος καὶ τοῦ πληθυντικοῦ ἐσβατά Τόμ. Γ', σελ. 237, 8 «τῷ μὲν γὰρ τῆς οἰκοδομίας κολοϐῷ ἐσβατὰ πόνῳ οὐδενὶ τοῖς πολεμίοις ἐγίνετο».

Ὑπὸ τοῦ Θουκυδίδου ἐρρήθη οὐ μόνον πλοϊμώτερα ἐγένετο ἀλλὰ καὶ ἤδη πλοϊμωτέρων ὄντων βιβλ. Α', 7. Φέρεται δὲ καὶ παρὰ Φίλωνι τῷ Ἰουδαίῳ Τόμ. Ϛ', σελ. 80 «ἔτι πλοΐμων ὄντων» καὶ παρὰ Δίωνι τῷ Χρυσοστόμῳ Τόμ. Α', σελ. 110, 6 Δινδ. «ὡς τά γε νῦν οὐκ ἔστι πλόϊμα». Ἴδε Γ. Σμιδίτιον ἐν *Atticism.* Τόμ. Α', σελ. 120.

Ἀντὶ τοῦ ἑνικοῦ ἀβίωτον, οὗ ἐμνημονεύσαμεν παραδείγματα ἐκ τοῦ Εὐριπίδου, εἶνε παρειλημμένον τὸ πληθυντικὸν ἀβίωτα ὑπὸ τοῦ Λουκιανοῦ Ῥητ. Διδασκ. 1 «ἀβίωτα γὰρ εἶναί σοι φῄς, εἰ μὴ τοιαύτην τινὰ δύναμιν περιβάλοιο ἐν τοῖς λόγοις». Φέρεται δὲ παρὰ τῷ συγγραφεῖ τούτῳ καὶ τὸ ἄφυκτα Ἀναχάρ. 32 «ἄφυκτα τοῖς πολεμίοις ἔσται» καὶ περὶ Διψάδ. 2 «ἄφυκτα γάρ ἐστιν, ἣν ὁ ἥλιος

ἀνασπάσας τὴν ἰκμάδα καὶ τάχιστα ξηράνας τὴν χώραν ὑπερζέσῃ». Ἴδε Γ. Σμιδίτιον ἐν *Atticism*. Τόμ. Α΄, σελ. 248 κέ.

ΚΕΦ. ϛ΄.

Εἰσιτήρια — σωτήρια καὶ εἰσιτητήρια — εἰσηγητήρια.

Ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 2120 ἡ παραδεδομένη γραφὴ εἶνε «τῇ πρώτῃ τῆς ἀρχῆς ἡμέρᾳ θύσας σωτήρια κατὰ τὸν νόμον»· μετεβλήθη δὲ τὸ σωτήρια εἰς τὸ εἰσιτήρια ὑπὸ τοῦ Ῥεισκίου.

Ἐνέκρινε δὲ τὴν μεταβολὴν ταύτην καὶ ὁ Κόβητος ἐν *Observat. in Dionys. Halicarn.* σελ. 199 λέγων «Ut θύειν σωτήρια in tali re est absurdum, ita certa et evidens est Reiskii emendatio θύσας ΕΙCΙτήρια. Demosthenes p. 400: ἡ βουλὴ εἰσιτήρια ἔθυσε, συνειστιάθη, σπονδῶν ἱερῶν ἐκοινώνησεν, οἱ στρατηγοί, σχεδὸν ὡς εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι. Saepe etiam Romani dicuntur τὰ εἰσιτήρια θύειν. vid. Fabricium ad Dionen Cassium LXXIII. 13. pag. 1236».

Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κεῖται «Εἰσηγητήρια: ὅταν ἄρχηται βουλεύειν ἢ θύειν»· ἐνομίσθη δὲ τὸ εἰσηγητήρια ὑπὸ τοῦ Κουστήρου ἐσφαλμένη γραφὴ τοῦ εἰσιτήρια. Ἄξια ἀναγνώσεως μάλιστα εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου διειλημμένα ἐν *Nov. Lect.* σελ. 479. Ἐδόξαζε δὲ καὶ οὗτος ὅτι ἐγράφη ὑπὸ τοῦ Ἡσυχίου «Εἰσιτήρια ὅταν ἄρχηταί τις βουλεύειν θύει».

Ἐν παλαιοτέροις χρόνοις μόνος ὁ τύπος εἰσιτήρια ἐγινώσκετο· ὅθεν εὐλόγως τότε ὑπελαμβάνετο τὸ παρὰ τῷ Ἡσυχίῳ φερόμενον εἰσηγητήρια πλημμελὴς ἀνάγνωσις τοῦ εἰσιτήρια. Ἀλλὰ νῦν εἶνε ἐκ τῶν ἐπιγραφῶν ἐγνωσμένον ὅτι ἐγίνετο ὑπὸ τῶν Ἑλλήνων χρῆσις καὶ τοῦ τύπου εἰσιτητήρια. Ὁ Ἑρουερδὴν γράφει ἐν *Lapid. Testim.* σελ. 49 «εἰσιτητήρια, sc. ἱερά. Sic constanter tituli, se- non minus constanter librarii omissa syllaba scribunt εἰσιτη- ρια et ἐξιτήριος. Nam ἐξιτητήρια in solis inscriptionibus extar videtur. Cf. II 10. 325. 470, 4, 34. 481, 33, 58. 482,8. 62

Add. II 453c., al.» καὶ ἐν *Lex. Graec. Supplet. et Dialect.* σελ. 247 «εἰσιτητήρια et ἐξιτητήρια constanter inscr. atticae, ubi scriptores εἰσιτήρια et ἐξιτήρια. Cf. Meisterh.[2] 92, 15. Est tamen εἰσιτήρια in tit. saec. II part. post. Magnesiae ad M. ap. Dittenb.[2] 552, 25: τὴν ἡμέραν τήνδε (inaugurationis templi Dianae Leucophryenae) ἀναδεδεῖχθαι — ἱεράν, προσαγορευομένην εἰσιτήρια. Cf. 1. 48. 81».

Ἐπειδὴ ἐφέρετο ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ τύπος εἰσιτητήρια, οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι τούτου ἡμαρτημένη γραφὴ εἶνε τὸ ἐν τῷ κώδικι τοῦ Ἡσυχίου κείμενον εἰσηγητήρια καὶ ὅτι ἔγραψεν ὁ Λεξικογράφος «Εἰσιτητήρια: ἅ, ὅταν ἄρχηταί τις βουλεύειν, θύει».

Τὰ ὀνόματα εἰσιτήρια-εἰσιτητήρια καὶ ἐξιτήρια-ἐξιτητήρια παρήχθησαν ἐκ τῶν ῥημάτων εἰσιέναι καὶ ἐξιέναι. Ἐμφερῶς δὲ τῷ μὲν εἰσΙτήρια καὶ ἐξΙτήρια εἶνε ἐσχηματισμένα τὸ Ἰτέον καὶ προσΙτός, κτλ., τῷ δὲ εἰσΙΤΗτήρια καὶ ἐξΙΤΗτήρια τὸ ἸΤΗτέον καὶ ἐξΙΤΗτός, κτλ. Καλὸν δ' ἡμῖν φαίνεται νὰ ἐπεξέλθωμεν τὰ παράγωγα τοῦ ἁπλοῦ ῥήματος ἰέναι καὶ τῶν συνθέτων ἀπιέναι, ἐξιέναι, κτλ., καὶ πρῶτον μὲν τὰ κατὰ τὸν πρῶτον τρόπον προενηνεγμένα.

ἰτέον. Εὐριπ. Ὀρ. 786 «ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν». Ξενοφ. Ἀναβ. Γ', α', 7 «ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο πῶς ἂν κάλλιστα πορευθείη» καὶ Ϛ', ε', 30 καὶ Ἀπομν. Γ', ια', 1 καὶ Κύρ. Παιδ. Β', α', 21. Πλάτ. Ἀπολογ. σελ. 21, Ε' «ἰτέον οὖν σκοποῦντι τὸν χρησμὸν τί λέγει» καὶ Πολιτ. σελ. 394, Δ' καὶ Νόμ. σελ. 803, Ε'. Ἱπποκρ. Τόμ. Α', σελ. 309 Ἑρμερ. «πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει» (γρ. ἴσ. πολλῷ δ' ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον ἢ ἐπὶ τὴν ἀφαίρεσιν· ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως κτέ»). Δίων Χρυσόστ. Τόμ. Β', σελ. 5, 1 Δινδ. «ἐπ' ἄλλους ὑμῖν ἰτέον». Διονύσ. Ἁλικαρν. Τέχν. Ῥητορ. Γ', 3 «ἀπὸ δὲ τούτου ἰτέον καὶ ἐπὶ τοὺς τόπους, ἐν οἷς τις γέγονε» κα Ε', 2 «ἑξῆς ἰτέον ἐπὶ τὸ ἐγκώμιον τῶν βασιλέων». Προκόπ. Τό ι. Γ', 148, 3 «ἰτέον δὲ καὶ εἰς τοὺς ἐν Ἀλεξανδρείᾳ πτωχο ς» καὶ σελ, 172, 22 καὶ σελ. 184, 1. Σιμπλίκ. Ὑπομνήμ. εἰς

'Αριστ. Τόμ. Ζ', σελ. 49, 25 «ἀλλ' ἐπὶ τὰ ἑξῆς ἰτέον» καὶ σελ. 387, 25 καὶ σελ. 438, 27 καὶ σελ. 510, 35 καὶ σελ. 597, 28. Στέφ. Βυζάντ. σελ. 59, 17 Μειν. «ἀνεῖλε δὲ τὸ Δελφικὸν μαντεῖον ἐπ' ἀνατολὰς ἰτέον». Θεόδωρ. Πρόδρ. Θ', 259 «ἐγγὺς ἰτέον καὶ τοὺς τεκόντας γνησίως ἀσπαστέον». Πρβ. Ἡσύχ. καὶ Σουΐδ. «Ἰτέον: πορευτέον». Μνημονεύεται δ' ὑπὸ τοῦ Σουΐδα σελ. 775 λ. ὁμόσε φράσις ἔχουσα ὧδε· «ὁμόσε ἰτέον τοῖς πολεμίοις». Κατὰ τὸν αὐτὸν τρόπον ἐλέχθη ὑπὸ τοῦ Συνεσίου 'Επιστολ. σελ. 179, Β' «ἔγνωκεν ὁμόσε ἰτέον εἶναι τοῖς ἀποθνήσκουσι». Ἄξιον δὲ παρατηρήσεως εἶναι ὅτι συνεχύθησαν ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου τὸ ἰΣτέον καὶ τὸ ἰτέον· «Ἰστέον: γνωστέον, πορευτέον». Πρβ. Κραμ. 'Ανέκδ. 'Οξ. Τόμ. Β', σελ. 99, 5 «ἰΣτέον δὲ εἰς τὰ παραδείγματα τοῦ κανόνος» καὶ σελ. 145, 29 «ἰτέον οὖν αὖθις ἐπὶ τὰ παραδείγματα». Ὡς δ' ἐλέχθη κατὰ πληθυντικὸν ἀριθμὸν πολεμητέα καὶ ἀμυντέα καὶ συνεκποτέα, κτλ., οὕτω καὶ ἰτέα ὑπὸ τοῦ 'Αγαθίου σελ. 29,20 Βόνν. «ἐμοὶ δ' ἧπερ ὁ πρότερος ἐφέρετο λόγος, ταύτῃ ἰτέα» καὶ ὑπὸ τοῦ ἱστορικοῦ Μενάνδρου σελ. 293,22 Βόνν. «καὶ σοὶ κατ' ἴχνος ἐκείνῳ ἰτέα;».

ἀντιτέον. Διονύσ. 'Αλικαρν. Λυσ. ΙΓ' «ἀντιτέον δὲ ὅθεν ἐξέβημεν εἰς ταῦτα». Τοῦτο μόνον τὸ χωρίον φέρεται μαρτύριον ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', Β', σελ. 816. 'Απαντᾷ δὲ καὶ παρὰ Διογένει τῷ Λαερτίῳ Ι', 34 «ἀντιτέον δ' ἐπὶ τὴν ἐπιστολήν» καὶ παρ' 'Απολλωνίῳ τῷ 'Αλεξανδρεῖ περὶ Συντάξ. σελ. 123, 18 «ἀντιτέον οὖν ἐπὶ τὸ προκείμενον» καὶ σελ. 205, 19 «ἀντιτέον μέντοι ἐπὶ τὸ προκείμενον».

ἀπιτέον. Ξενοφ. 'Αναβ. Ε', γ', 1 «ἐδόκει ἀπιτέον εἶναι». Ἄμφις παρ' 'Αθηναίῳ σελ. 559, Β' «ἢ πρὸς ἄλλον ἀπιτέον». Λουκιαν. 'Ερμοτ. 82 «ἀπιτέον αὐτοῖς ἐς διδασκάλου». Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα κεῖται τὸ πληθυντικὸν ἀπιτέα σελ. 140 «'Απιτέα: δεῖ ἀπέρχεσθαι».

διεξιτέον. Πλάτ. Τιμ. σελ. 44, Δ' «οὕτω καὶ κατὰ ταῦτα πορευομένοις διεξιτέον». Ψευδοπλ. 'Επινομ. σελ. 974, Δ' «πρῶτον διεξιτέον» καὶ Ψευδαριστοτ. 'Ρητορ. πρὸς 'Αλέξ. Β', 15 (Τόμ. Α', σελ. 419, 47 Διδ.) «διεξιτέον δὲ τὰς μεταβολὰς τὰς ἐν τῷ πολέμῳ».

διιτέον. Πλάτ. Πολιτ. σελ. 545, Α' «ἆρ' οὖν τὸ μετὰ τοῦτο διιτέον τοὺς χείρους».

εἰσιτέον. Ἰάμβλ. περὶ τοῦ Πυθαγορ. Βίου σελ. 77, 15 Ναυκ. «ὁδοῦ πάρεργον οὔτε εἰσιτέον εἰς ἱερὸν οὔτε προσκυνητέον τὸ παράπαν». Ἀλλ' ἐν τῷ Προτρεπτικῷ τοῦ Ἰαμβλίχου σελ. 320 Κισλ. εἶνε γεγραμμένον «ὁδοῦ πάρεργον οὐκ εἰσιτητέον εἰς ἱερὸν οὐδὲ προσκυνητέον τὸ παράπαν». Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «Ἰσιγέον: πορευτέον»· σημειοῦται δ' ὁ Σμιδίτιος ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τούτου Τόμ. Β', σελ. 371 «Sic codex, ἰτητέον Mus. ἰσιτέον = εἰσιτέον correxisse etiam Meinek. Philol. XIII p. 528 video». Πιθανὸν δ' ἡμῖν φαίνεται ὅτι ἐξέπεσε πρὸ τοῦ πορευτέον τὸ ἐπίρρημα εἴσω.

ἐπανιτέον: Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου λέγεται «Ἐπανιτέον: ἐπανοδευτέον», ἐν δὲ τῷ τοῦ Σουΐδα «Ἐπανιτέον: ἐπανακτέον». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου εἶνε παρατεθειμένα παραδείγματα τοῦ ἐπανιτέον ἐκ τοῦ Πλάτωνος καὶ ἐκ τοῦ Ἀριστοτέλους καὶ ἐκ Γρηγορίου τοῦ Νύσσης. Ἐρρήθη δὲ καὶ ὑπὸ Φίλωνος τοῦ Ἰουδαίου Τόμ. Β', σελ. 80 «ἐπανιτέον δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς σκέψιν» καὶ ὑπὸ τοῦ Γαληνοῦ Τόμ. Γ', σελ. 642 «ἐπὶ γὰρ τὸ προκείμενον ἐπανιτέον» καὶ ὑπὸ τοῦ Ἰουλιανοῦ σελ. 75, 12 Ἑρτλ. «ἐπανιτέον δὲ ὅθεν περ ἐξῆλθον καὶ ἀποδοτέον τὸ τέλος τῆς μάχης» καὶ ὑπὸ τοῦ Θεμιστίου Λόγ. σελ. 174, 19 «ἀλλ' ἐπανιτέον ἐπὶ τὸν λόγον τὸν ἐξ ἀρχῆς» καὶ σελ. 398, 29 «καὶ ὁπότε βαδιστέον εἰς ἀγορὰν καὶ ὁπότε οἴκαδε ἐπανιτέον» καὶ ὑπὸ τοῦ Σιμπλικίου Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. Ζ', σελ. 38, 4 «ἐπανιτέον δὲ πάλιν ἐπὶ τὰ ἑξῆς» καὶ σελ. 91, 20 «ἀλλ' ἐπανιτέον λοιπὸν πρὸς τὸ ἑξῆς τῶν Ἀριστοτέλους προβλημάτων» καὶ σελ. 107, 25 «ἀλλ' ἐπὶ τὰ τοῦ Ἀριστοτέλους ἐπανιτέον» καὶ ὑπ' Ἰωάννου τοῦ Φιλοπόνου Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΙϚ', σελ. 459, 1 «ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν».

ἐπιτέον. Στράβ. σελ. 178,12 Μειν. «οὔτε δὲ τὰς τοσαύτας οἰκήσεις ἐπιτέον, ὅσας ὑπαγορεύει τὸ λεχθὲν μεταξὺ διάστημα, οὔτε πάντα τὰ φαινόμενα θετέον». Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τοῦ Στράβωνος Τόμ. Δ', σελ. 54 «Ἐπιτέον: Ἐκ ΔΓ, ΑΤ, Ἐπιθετέον. Ἴσως ἐγέγραπτο πάλαι, Ὑποθετέον». Ἀλλὰ κάλ-

λιστα, νομίζομεν, ἔχει ἡ γραφὴ ἐπιτέον, ἥτις εἶνε ἐγκεκριμένη οὐ μόνον ὑπὸ τοῦ Κραμήρου ἀλλὰ καὶ ὑπὸ τοῦ Μεινεκίου καὶ ὑπὸ τοῦ Καρόλου Μυλλήρου.

μετιτέον. Ἀριστοτ. Τοπ. Ε', ς', 18 (Τόμ. Α', σελ. 218,42 Διδ.) «περὶ μὲν οὖν τοῦ γένους, καθάπερ εἴρηται, μετιτέον» καὶ Μετὰ τὰ Φυσ Ζ', ιζ', 1 (Τόμ. Β', σελ. 556, 43) «ἐπεὶ οὖν ἡ οὐσία ἀρχὴ καὶ αἰτία τίς ἐστιν, ἐντεῦθεν μετιτέον». Διογέν. Λαέρτ. Β', 144 «μετιτέον δὲ ἐπὶ Πλάτωνα τὸν τῆς Ἀκαδημίας κατάρξαντα» καὶ ς', 105 «μετιτέον δ' ἐπὶ τοὺς στωικούς». Ἀλκίφρ. Ἐπιστολ. Γ',13, 3 «μετιτέον μοι ἐφ' ἕτερον βίον». Σέξτ. Ἐμπειρ. σελ. 148,19 Βεκκ. «μετιτέον ἐπὶ τὴν περὶ τούτων σκέψιν». Ῥοῦφ. Ἐφέσ. σελ. 172, 8 Δαρ. «ἑξῆς μετιτέον ἐπὶ τὰ ἐν τῷ στόματι παρακείμενα». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου γίνεται μνεία καὶ τοῦ ἐπιθέτου μετιτέος Τόμ. Ε', σελ. 929 «Adj. Μετιτέος Philo (seu potius Pletho) De virt. c. 13, 2; c. 23,2. Boiss.».

παριτέον. Θεμίστ. Λόγ. σελ. 227, 5 Δινδ. «σιγῇ τῷ τοιούτῳ ἀνδρὶ παριτέον εἰς τὰ βασίλεια;». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. ς', σελ. 525 ἓν μόνον παράδειγμα τοῦ παριτέον μνημονεύεται τὸ παρὰ Φίλωνι τῷ Ἰουδαίῳ Τόμ. Γ', σελ. 89 «ἄλλα μυρία ὧν μακρὸν ἂν εἴη μεμνῆσθαι· τὰ δὲ καίρια οὐ παριτέον». Ἀλλ' ἐν τῇ νέᾳ ἐκδόσει τοῦ συγγραφέως τούτου Τόμ. Γ', σελ. 90 (1898) εἶνε γεγραμμένον μὲν «τὰ δὲ καίρια οὐ παρετέον», σεσημειωμένον δὲ «παρετέον scripsi: παραιτέον A, παρεατέον MGFL², παριτέον HL¹». Ποιεῖται δὲ χρῆσιν τοῦ παριτέον καὶ ὁ Προκόπιος λέγων Τόμ. Β', σελ. 464, 3 «Τραπεζοῦντος δέ μοι ἐπιμνησθέντι οὐ παριτέον τὸ πλείστῳ παραλόγῳ τῇδε ξυμβαῖνον» καὶ Τόμ. Γ', σελ. 90, 10 «ἀλλὰ τἆλλα μοι παριτέον, ὥσπερ τοῦδε ἀρχόμενος τοῦ λόγου ὑπεῖπον» καὶ σελ. 132, 17 «ἐπεὶ δὲ δωματίων ἐμνήσθην, οὐδὲ τοῦτο παριτέον ἡμῖν» καὶ σελ. 140, 11 «ἃ δὲ καὶ ἐς τὰ κέρματα τοῖς βασιλεῦσιν εἴργασται οὔ μοι παριτέον οἴομαι εἶναι». Ἐν Τόμ. Β', σελ. 566, 19 ἀπαντᾷ «οὔτε παριτέος παντάπασιν»· φέρονται δὲ καὶ γραφαὶ παριτέον καὶ παραιτητέος.

περιιτέον. Πλάτ. Φαῖδρ. σελ. 274, Α' «μεγάλων γὰρ ἕνεκα περιιτέον» καὶ Πολιτ. σελ. 504, Γ' «τὴν μακροτέραν τοίνυν, ὦ ἑταῖρε, ἔφην, περιιτέον τῷ τοιούτῳ».

προϊτέον. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου λέγεται Τόμ. Ϛ', σελ. 1731 «Προϊτέον, Procedendum; Praeeundum. Greg. Naz. Epist. 26, p. 790 fin. Boiss.». Εἶνε δὲ καὶ ὑπὸ τοῦ Στράβωνος εἰρημένον σελ. 624, 28 Μειν. «εἰ δὲ καὶ μέχρι τῆς παραλίας προϊτέον τῆς ἐγγυτάτω τοῦ Ὁμολίου», οὗ ἐμνήσθη ὁ Ε. Α. Σοφοκλῆς ἐν τῷ Ἑλληνικῷ Λεξικῷ σελ. 929. Ἀποκατέστησε δ' ὁ Συλβούργιος καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ τὸ προϊτέον ἀντὶ τοῦ προσιτέον σελ. 66 (Τόμ. Α', σελ. 232, 13 Δινδ.) «οὐ γὰρ μέχρι τῶν ὕβρεως προϊτέον κρατήρων». Ἔγραψε δὲ καὶ ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ 1867,43 σελ. 8 «Διόρθωσον δέ μοι πρῶτον προϊτέον ἀντὶ τοῦ προσιτέον, καὶ τοῦτό μοι μέμνησο ὅτι καὶ τόδε ἓν τῶν ἐφ' ἡμῖν ἐστὶ τὸ τὴν ΠΡΟ καὶ τὴν ΠΡΟϹ ἀεὶ μεταλλάττειν πρὸς τὸ δέον».

προσιτέον. Ξενοφ. Κυνηγετ. Ι', 21 «ὅμως μέντοι προσιτέον, ὅταν ἔχῃ οὕτως, καὶ ἐπιδεικτέον τὴν εὐτυχίαν». Θεμίστ. Λόγ. σελ. 330, 35 Δινδ. «προσιτέον δὴ πρῶτον αὐτῷ πόρρωθεν». Ἄλλα παραδείγματα βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ϛ', σελ. 1935. Παρ' Ἰωάννῃ τῷ Φιλοπόνῳ Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. ΙΖ', σελ. 616, 14 φέρεται «καὶ μετὰ ταῦτα λοιπὸν ἀκολούθως τοῖς προβλήμασι προϊτέον»· σημειοῦται δ' ὁ ἐκδότης «προϊτέον KM: προσιέναι Gt: fort. προσιτέον».

εἰσιτόν-εἰσιτά. Ἐμνήσθημεν τούτων ἐν κεφ. Ε', σελ. 475.

ἐξιτόν-δυσέξιτος. Ἡσιόδ. Θεογ. 732 «τοῖς οὐκ ἐξιτόν ἐστι». Σουίδ. «Δυσέξιτος τόπος: ἀδιόδευτος. Ἴδε Θησαυ. Στεφ. Τόμ. Β' σελ. 1746.

παριτός-δυσπάριτος. Καλλίμ. Ὕμν. εἰς Λουτρ. τῆς Παλλ. 90 «ὢ ὄρος ὢ Ἑλικὼν οὐκ ἔτι μοι παριτέ» (Σχολ. παριτέ: παραβατέ, παροδεύσιμε».) Ξενοφ. Ἀναβ. Δ', α', 25 «ἐρωτώμενος δ' εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον χωρίον, ἔφη εἶναι ἄκρον ὃ εἰ μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν». Προκόπ. Τόμ. Γ', σελ. 294,17 «τελματώδης τε καὶ δυσπάριτος τοῖς τῇδε ἰοῦσιν ἐγίνετο» καὶ σελ. 302,22 «δυσπάριτόν τε καὶ τοῖς προσιοῦσι παντελῶς ἄμαχον» καὶ σελ. 309,9 «δυσπάριτα καὶ κινδύνων ἀτεχνῶς ἔμπλεα». Παρὰ τῷ Καλλιμάχῳ ἔγραψεν ὁ Ὄθων Σνειδῆρος ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Α', σελ. 54 περιτέ (=περιιτέ) καὶ μακρὸν λόγον

περὶ τοῦ πράγματος ἐποιήσατο σελ. 355. Ἀλλ' ἰσχυρῶς τῆς παραδεδομένης γραφῆς παριτέ ὑπερμαχεῖ ὁ Γ. Ῥεινέκιος ἐν *Dissert. Phil. Hal.* 1888, σελ. 36 κέ. Ἐν τῷ χωρίῳ τοῦ Ξενοφῶντος τἀντίγραφα ἔχουσι δυσπόριστον καὶ δύσβατον. Τὴν γνησίαν γραφὴν ἀποκατέστησεν ὁ Πόρσων σῳζομένην ἐν τῷ Λεξικῷ τοῦ Σουίδα «Δυσπάριτον: δυσπόρευτον· Ξενοφῶν ἐρωτώμενος δ' εἰ εἴη δυσπάριτόν τι χωρίον· τὸ ἄβατον» καὶ ἐν τῷ τοῦ Ζωναρᾶ σελ. 582 καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 292,30.

(προϊτός)-ἀπρόϊτος. Πολλὰ τοῦ ἐπιθέτου ἀπρόϊτος μαρτύρια μνημονεύονται ἐκ μεταγενεστέρων συγγραφέων ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', Β', σελ. 1817. Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Γαληνῷ Τόμ. ΙΔ', σελ. 729 «σημειούμεθα δὲ τοὺς πυρέττοντας ἐκ τῆς θέρμης τῆς ἐπιτεταμένης καὶ ἀπροΐτου οὔσης» καὶ παρὰ Μιχαὴλ τῷ Ψελλῷ Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ', σελ. 94 «τὰ μὲν πρῶτα ἀπρόϊτος οἴκοι διέτριβε» καὶ παρὰ τῷ Θεοφάνει Χρονογρ. σελ. 465,9 (1883) «ἀπρόϊτον ἐποίησεν ἐπὶ ἡμέρας ἱκανάς» (Πρβ. καὶ Κεδρηνὸν Τόμ. Β', σελ. 24,11) καὶ παρὰ τῷ Κιννάμῳ σελ. 42, 14 «ὡς μὴ ἐνταῦθα κατακλείσας ἑαυτὸν ἀπρόϊτον πολιορκοῦσι Ῥωμαίοις ἐργάσηται» καὶ παρὰ τῷ Κεδρηνῷ Τόμ. Α', σελ 327,1 «καὶ διῆγε νηστεύουσα καὶ ἀπρόϊτος σὺν ταῖς δυσὶ θυγατράσιν αὐτοῦ» καὶ σελ. 679,17 «καὶ ὡρίσθη καθέζεσθαι ἐν τῷ οἴκῳ αὐτοῦ ἀπρόϊτος» καὶ παρὰ τῷ Κριτοβούλῳ (Ἀποσπ. Ἱστορ. Ἑλλήν. Τόμ. Ε', σελ. 160 Μυλλ.) «εἰσὶ δὲ οἳ καὶ κατακλείσαντες ἑαυτοὺς ἐν τοῖς δωματίοις ἔμενον ἀπρόϊτοι» καὶ παρὰ τῷ Εὐσταθίῳ Παρεκβ. εἰς Ὅμ. σελ. 968,64 «ὃν ἐχρῆν ἔνδον καθεῖρχθαι ἀπρόϊτον» καὶ σελ. 1093,54 «ἥτις διὰ σωφροσύνην τοῦ θαλάμου ἐστὶν ἀπρόϊτος». Πρβ. καὶ Σουίδ. «Ἀπρόϊτος: ὁ τῆς οἰκίας μὴ ἐξερχόμενος». Ἐκ τοῦ ἐπιθέτου ἀπρόϊτος ἐσχηματίσθη τὸ ὄνομα ἀπροϊσία, ὃ κεῖται ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τόμ. Α', σελ. 94,16 Διν δ. «ἐπεὶ καὶ σωφροσύνης ἕνεκα πολλάκις ἀπροϊσία γίνεται». Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 797,45 φέρεται «ῥηματικὸν ὄνομα ἰτός, προϊτός, προϊτῶ καὶ συναιρέσει προιτῶ καὶ ἐκβολῇ τοῦ Ρ καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ φοιτῶ»· ἀλλ' οὐδαμῶς ἐκ τούτου συμπεραίνεται ὅτι ἐγίνετο ἐν τῇ Ἑλληνικῇ γλώσσῃ χρῆσις τοῦ ἐπιθέτου προϊτός. Σημειωτέον δ' ὅτι τοῦ ἁπλοῦ ἰτός μόνον τὸ θηλυ-

κὸν εὑρίσκεται κατ' ἀνάγνωσιν τοῦ Λερσίου ἐν τῇ Παλατίνῃ 'Ανθολογίᾳ Ζ', 480 «ἡ γὰρ τὴν οὔπω πρὶν ἰτὴν ὁδὸν ἐτμήξαντο». Ἴδε Δυβνῆρον ἐν τῇ ἐκδόσει τῆς Παλατίνης 'Ανθολογίας Τόμ. Α', σελ. 477. Ὁ Μεινέκιος γράφει ἐν *Delect. Poet. Anth. Graec.* σελ. 127 «Vs. 5 cod. τὴν οὔπω πρινὶ τὴν ὁδόν. Quae quum Brunckius audacissima coniectura attrectasset, Jacobsius cod. vestigia premens scripsit τὴν οὔπω πρὶν ἴτην ὁδόν, dualem pro plurali positum esse existimans. Sed recte Lehrsius verbale ἰτὴν poetae reddendum esse vidit Quaest. ep. I, p. 26».

προσιτός - ἀπρόσιτος - δυσπρόσιτος - εὐπρόσιτος. Πολλὰ ἑκάστου τῶν ἐπιθέτων τούτων παραδείγματα εἶνε κατειλεγμένα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου.

εἰσιτήριος. Σουΐδ. «Εἰσιτήριος: Ὁ εἰσόδιος λόγος». Ἐλέχθη δὲ καὶ εἰσιτήριοι θυσίαι ὑπὸ τοῦ Ἡλιοδώρου Αἰθιοπ. Ζ', 2 «ἐπὶ τὴν προφητείαν κληθέντος καὶ τὰς εἰσιτηρίους θυσίας τελοῦντος». Τοῦ οὐδετέρου πληθυντικοῦ εἰσιτήρια μνημονεύονται μαρτύρια ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 322. Φέρεται δὲ καὶ παρὰ Μιχαὴλ τῷ 'Ακομινάτῳ Τόμ. Α', σελ. 93, 17 «φέρε δή, φέρε — προσδιαλέξωμαι ὑμῖν τὰ εἰσιτήρια εἴτουν ἐμβατήρια».

ἐξιτήριος. Σουΐδ. «Ἐξιτήρια καὶ ἐξαγγέλια κατὰ Ῥωμαίους τὰ ὑπὲρ τῆς ἐξόδου παρεχόμενα» καὶ «Ἐξιτηρίους εὐχάς: ἐφοδίους τοῖς πρὸς ἔξοδον ἰοῦσιν ἢ πρὸς θάνατον» (Πρβ. καὶ Ἐτυμολ. Μέγ. σελ. 348, 43). Ποιεῖται δ' ὁ Κουστῆρος εἰς τὸ ἐξιτηρίους εὐχάς τὴν παρατήρησιν τήνδε «Gregor. Nazianzenus Orat. XX. p. 333. Παρῆν ἡ τῆς ἐκδημίας ἡμέρα, καὶ ὅσα τῆς ἐκδημίας, ἐξιτήριοι λόγοι, προπόμπιοι, ἀνακλήσεις, οἰμωγαί, περιπλοκαί, δάκρυα. Hic ἐξιτήριοι λόγοι vocantur sermones, quibus se mutuo alloquuntur amici, quorum alter ab altero discessurus est. Apud eundem Nazianzenum in eadem oratione p. 370. ἐξιτήριοι λόγοι vocantur suprema Basilii morituri verba: quod exemplum pertinet ad ultimam vocis ἐξιτήριος interpretationem, quam Suidas hoc loco tradit» (Πρβ. καὶ Πιερσῶνα εἰς Μοῖρ. σελ. 222 καὶ Βερνάρδυν εἰς Σουΐδ. Τόμ. Α', Β', σελ. 323). Παρὰ Χορικίῳ τῷ Γαζαίῳ σελ. 179 Βοισσ. ἀπαντᾷ «ἐνταῦθά σοι μονῳδήσω τὸν ἔσχατον καὶ πικρὸν ἐξιτήριον, ἔνθα σοι τὸν γλυκὺν

εἰσιτήριον πολλάκις ἐκρότησα»· σημειοῦται δ' ὁ ἐκδότης «Eumathius 7, p. 269: τὸ δ' ἐμὸν τοῦτο στόμα, πλατυνθὲν ἐξ ὀδύνης κατατραγῳδήσει· σοι τὸ ἐξιτήριον. Melius Codex 2897: κατατραγῳδήσει τὸν ἐξιτήριον· subaudito λόγον». Τοῦ οὐδετέρου πληθυντικοῦ ἐξιτήρια ἐγένετο χρῆσις καὶ ὑπ' ἄλλων καὶ ὑπὸ Μιχαὴλ τοῦ Ἀκομινάτου Τόμ. Α', σελ. 301, 11 «οὐκ ἐπισκήψας τὰ ὕστατα, οὐ τὰ ἐξιτήρια συνταξάμενος». Ἄξια παραθέσεως νομίζομεν τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν *Nov. Lect.* σελ. 479 «Itaque pro ἐπ' ἐξόδῳ optime ἐξιτήρια dici potest, ἐπεξόδια non potest. Hesychius: Ἐξιτηρίο: ἡμέρα ἐν ᾗ τὰς ἀρχὰς ἀπετίθεντο Ἀθήνησιν. Optime Alberti vidit Ἐξιτήρια veram formam esse, falliturque Grammaticus, qui *diem* sic appellari putat: est enim ἡ ἐπ' ἐξόδῳ τῆς ἀρχῆς θυσία, et ἐξιτήρια θύειν eo sensu dicebatur.

κατιτήριος - κατιτήρια. Ὁ Πιερσὼν γράφει ἐν τῇ ἐκδόσει τοῦ Μοίριδος σελ. 223 «Ad hanc lucem si spectemus κατιτήριον, facile patebit, derivari a κατιέναι, *descendere*. Ὄβολος κατιτήριος vel νόμισμα κατιτήριον, *nummus*, qui *solvebatur* pro *descensu* ad *inferos*. Similiter *sacrificia*, *quae pro* descensu sive ad inferos, sive in antrum Trophonii, vel *pro reditu* in patriam (hoc enim sensu κατιέναι et κάθοδος non raro occurrunt) fiebant, Graece appellantur κατιτήρια. *Hesychius*: Κατιτήρια, ἡ ἐπὶ καθόδῳ θυσία. Editur quidem κατικτηρία. quod H. *Stephanus* in Ind. Thes. ab Ionico καθικνεῖσθαι sive καθίκεσθαι deducit; sed κατιτήρια legi debere alterumque a librariis esse profectum, ipsa series litterarum docet. Sed hoc nihil est ad incredibilem ipsius *Hesychii* stuporem; is enim suo loco pro Κατιτήρια posuit Καπητήρια, καταβατήρια, ubi notari meretur nomen καταβατήρια ad eandem normam formatum, ad quam διαβατήρια, *sacrificia* pro *transitu*, quod e *Thucydide* aliisque protulerunt Lexicographi. Quibus addi possunt ἐκβατήρια, ἐμβατήρια, ἐπιβατήρια, ὑπερβατήρια, Lexicographis incognita. Ἐκβατήρια *Philostratus* de Vit. Sophist. lib. II. cap. 1. p. 562. θύσας ἐκβατήρια τῆς νόσου. Ἐμβατήρια Idem V. A. lib.V. cap. 43. ἐμβατήρια πλοῦ θύσαντες. Her. cap. 2. p. 687. ἐμβατήρια τοῦ λόγου. Θυσίαν ἐμβατήριον *Heliodor.*

lib. IV. (cap. 16) p. 196. l. 24. quod ante *D' Orvill.* ad Charit. p. 662. (p. 605 ed. Lips.) observavit *Sopingius* ad Hesych. v. Ἐπιβατήρια. *Synesius* Encom. Calv. p. 70. D. Ἄγοιτ' ἂν οὖν ἐν δίκῃ μυστήρια κεφαλῆς ἀνακαλυπτήρια, διὰ μὲν τοὺς βεβήλους οὑτωσί πως καλούμενα, οἱ σοφοὶ δ' ἂν εἰδεῖεν, ὅτι νοῦ ταῦτα ἐπιβατήρια. Ὑπερβατήρια *Polyaen.* lib. I cap. 10. Ἡρακλεῖδαι μὲν δὴ ἔθυον τῇ Ἀθηνᾷ τῶν ὀρείων ὑπερβατήρια. Scribendum ὁρίων ». Λέγει δὲ καὶ ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 479 « Ἐπεξόδια omnino Graecum non est: εἰσιτήρια et ἐξιτήρια et κατιτήρια et διαβατήρια in tali re dicebant pro ἐπ' εἰσόδῳ, ἐπ' ἐξόδῳ, ἐπὶ καθόδῳ, ἐπὶ διαβάσει, non ἐπεισόδια aut ἐπεξόδια, aut ἐπικαθόδια aut quidquam huiusmodi. Leviter corruptus Hesychius est v. Κατικτηρία: ἡ ἐπὶ καθόδῳ θυσία, vera lectio est: Κατιτήρια. Immani errore apud eundem scribitur Κάπεσε: κατέπεσε. Καπητήρια: καταβατήρια. imo vero κατιτήρια. ΤΙ in Π depravatum fuit. Foedius etiam paulo ante: Κάππει: κατῆλθεν. Καππεδίον: κατὰ τὸ πεδίον. Nempe ΚΑΤΗΙΕΙ, κατῄει, stolide in ΚΑΠΠΕΙ mutaverunt. Agnosces stupidum genus et apud Photium. Καντήρια: Καταβατήρια. Κανοῦν: κανίσκιον. viden κατιτήρια confusis ΤΙ et Ν in ΚΑΝΤΗΡΙΑ abiisse? — Plura dabit Pierson ad Moeridem p. 222, qui κατιτήρια Hesychio et Photio occupavit reddere aliaque optimae notae aliunde collegit. Levi errore labitur Pierson in Polyaeni loco I. 10. Ἡρακλεῖδαι ἔθυον τῇ Ἀθηνᾷ τῶν ὀρείων ὑπερβατήρια, quum ὁρίων corrigendum esse putaret. Διαβαίνειν τὰ ὅρια dicebant et τὰ ἐν τοῖς ὁρίοις ἱερά constanter διαβατήρια appellantur, sed ὑπερβαίνειν τὰ ὄρη, quamobrem τῶν ὀρέων ὑπερβατήρια censeo esse emendandum ».

ἰτητέον. Ἀριστοφ. Νεφ. 131 « ἰτητέον· τί ταῦτ' ἔχων στραγγεύομαι ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; » (Σουΐδ. « Ἰτητέον: παρ' Ἀριστοφάνει ἐν Νεφέλαις· ἰτητέον· τί ταῦτ' ἔχων στραγγεύομαι; »). Ἀνταττικιστ. ἐν Βεκκ. Ἀνεκδ. σελ. 100, 11 « Ἰτητέον: ἀντὶ τοῦ ἰτέον. Δίφιλος Ἑλλεβοριζομένοις ». Ἐν ταῖς Ἐπιστολαῖς τοῦ Συνεσίου σελ. 254, Β′ φέρεται διττὴ γραφὴ « ἐμοὶ μὲν ἰτητέον ἐστὶν π' αὐτοὺς ὡς ἔχω » καὶ ἰτέον, ἣν προέκρινεν ὁ Ἕρχηρος ἐν τῇ ἐκ-

δόσει τῶν Ἑλλήν. Ἐπιστολογράφων σελ. 709, 12. Πρβ. καὶ σελ. πβ'. Ἀλλ' ἡμεῖς νομίζομεν ὅτι ὑπὸ τοῦ Συνεσίου ἐγράφη ἰτητέον.

ἀπιτητέα. Λουκιαν. Λεξιφ. 2 «καὶ ἤδη γε ἀπιτητέα».

εἰσιτητέον. Λουκιαν. Ἑρμοτ. 73 «δέον ἐπὶ τῇ εἰσόδῳ καὶ κατὰ τὴν ἀρχὴν εὐθὺς σκέψασθαι εἴπερ εἰσιτητέον».

ἐξιτητέον. Ξενοφ. Ἀπομνήμ. Α', α', 14 «τοῖς δ' οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν». Θεμίστ. Λόγ. σελ. 391, 23 «πρός τίνας τε καὶ ὁπότε καὶ ὅπως ἐξιτητέον».

διεξιτητέον. Ὁ Κουμανούδης γράφει ἐν τῇ Συναγωγῇ Ἀθησαυ. Λέξεων σελ. 79 «διεξιτητέον: ΕΥΣΕΒ. πρὸς τὰ Ἱεροκλ. § 42 — Ἐν τῷ ΘΣ κεῖται μόνον τὸ διεξιτέον ἐκ τοῦ Πλάτωνος καὶ τοῦ Ἀριστοτέλους. Πρβ. τὰ ἐν τῇ Συναγ. ταύτῃ ἐξιτητήρια καὶ εἰσιτητήρια».

παριτητέον. Λουκιαν. περὶ τῶν ἐπὶ Μισθ. Συν. 42 «ὅπως ἐς ταύτην ἀποβλέπων εἰδῇς εἴ σοι παριτητέον ἐστὶν εἰς αὐτήν». Θεμίστ. Λόγ. σελ. 378, 10 «καὶ εἰ παριτητέον μοι ἐπ' ἄλλῃ ὑποθέσει εἰς τὸ κοινόν». Ὡς δ' εἶπεν ὁ Θουκυδίδης κατὰ πληθυντικὸν ἀριθμὸν πολεμητέα ἀντὶ τοῦ πολεμητέον, κτλ., οὕτω καὶ παριτητέα ἀντὶ τοῦ παριτητέον βιβλ. Α', 72 «ἔδοξεν αὐτοῖς παριτητέα ἐς τοὺς Λακεδαιμονίους εἶναι». Παρασημειωτέον δ' ὅτι ἐν τῷ Τακτικῷ Ὑπομνήματι τοῦ Αἰνείου σελ. 55, 11 Ἑρχ. ἡ παραδεδομένη γραφὴ εἶνε «τοὺς γὰρ προσιόντας τῶν πολεμίων ἐν τῷ σκότει προαισθάνεσθαι ὅτι οὐ προσπηγαιον ἐστί», σημειοῦται δ' ὁ ἐκδότης «In προσπηγαιον latere προσιτητέον Hauptius egregie divinavit».

εἰσιτητός. Τοῦ ἐπιθέτου τούτου μνημονεύεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 322 μαρτύριον ἐκ Γρηγορίου τοῦ Ναζιανζηνοῦ τὸ «Μηκέτι ὁ νυμφὼν αὐταῖς εἰσιτητὸς ᾖ». Κεῖται δὲ καὶ παρὰ τῷ Ζωναρᾷ Ἐπιτομ. Ἱστορ. Τόμ. Δ', σελ. 100, 31 Διν δ. «ἀλλ' ἦν ἐκείνη αὐτοῖς οὐκ εἰσιτητή» καὶ παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ Τόμ. Α', σελ. 117, 7 «τοῖς Ἀμμανίταις καὶ Μωαβίταις οὐκ εἰσιτητὸς ὁ θεῖος ναός» καὶ ἐν τοῖς εἰς Λουκιανὸν Σχολίοις σελ. 52 Ἰακ. «τὸ στόμιον δὲ στενόν τε καὶ οὕτω κρύφιον ὡς μόνῃ ταύτῃ εἶναι καὶ εἰσιτητὸν καὶ γνώριμον». Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα σελ. 336 Βεκκ. καὶ ἐν τῷ τοῦ Ζωναρᾶ σελ. 626 λέγεται «Εἰσιτητός:

πορευτός»· φέρεται δὲ παρὰ τῷ Ζωναρᾷ καὶ γραφὴ εἰσιτός. Δὲν εἶνε δ' ἀκριβὴς ἡ ἐξήγησις τοῦ συνθέτου εἰσπτπτός διὰ τοῦ ἁπλοῦ πορευτός· καὶ δύναταί τις νὰ εἰκάσῃ ΕΙΣπορευτός, εἰ καὶ τοῦ ἐπιθέτου τούτου δὲν γίνεται μνεία ἐν τοῖς Λεξικοῖς. Περὶ τῆς χρήσεως τοῦ οὐδετέρου πληθυντικοῦ εἰσιτητά ἀντὶ τοῦ ἑνικοῦ εἰσιτητόν ἐγένετο λόγος ἐν κεφ. Ε', σελ. 474.

ἐξιτητός. Ἀλκίφρ. Ἐπιστολ. Γ', 30 «πολὺς ὁ χειμὼν τὸ τῆτες καὶ οὐδενὶ ἐξιτητόν (διάφ. γρ. ἐξιτόν)». Κακῶς παρὰ τῷ Πορφυρίῳ Ὁμηρ. Ζητ. εἰς Ἰλ. σελ. 192,26 Σραδ. εἶνε γεγραμμένον «μὴ διὰ τὸ μὴ ἐξίτητον αὐτὴν εἶναι κατὰ μέγεθος εἰρῆσθαι ἄπειρον» ἀντὶ τοῦ ἐξιτητήν». Περί τε τοῦ ἐπιθέτου τούτου καὶ τοῦ ἀνεξίτητος καὶ δυσεξίτητος καὶ διεξιτητός καὶ ἀδιεξίτητος καὶ δυσδιεξίτητος ἐγένετο λόγος ἐν κεφ. Δ', σελ. 467 κέ.

εἰσιτητήρια. Ὁ Κουμανούδης γράφει ἐν τῇ Συναγωγῇ τῶν Ἀθησαυ. Λέξεων σελ. 96 «εἰσιτητήρια, τά· (=εἰσιτήρια). Ὁ ἱερεὺς.... ἡ ἱέρεια..... ὁ κοσμητὴς..... οἱ ἔφηβοι..... ἔθυσεν, ἔθυσαν, θύσαντες τὰ εἰσιτήρια». ΕΠΙΓΡ. Ἀθηνῶν καὶ Πειραιῶς. C. I. A. II, 325. 470 (δὶς) 482. 622.

ἐξιτητήρια. Γράφει δὲ καὶ περὶ τούτου ὁ Κουμανούδης ἐν τῇ μνημονευθείσῃ Συναγωγῇ σελ. 116 «ἐξιτητήρια, τά· ΕΠΙΓΡ. Ἀθηνῶν. C. I. A. II, 481. δὶς ἐκεῖ ἡ λέξις»

Παράγωγα τοῦ ῥήματος ἰέναι εἶνε καὶ τὸ ἴτης καὶ ἰτητικός. Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 479,37 λέγεται «Ἴτης: ὁ ἐπὶ πάντα ὁρμῶν· ἀπὸ τοῦ ἰέναι· ἀπὸ τούτου καὶ εἰσιτήρια». Ὁ Βανισέκιος γράφει ἐν *Griechisch-Lateinisches Etymol. Wörterb.* Τόμ. Α',σελ.79. «*i-ta*: ἴ-τη-ς losgehend, unerschrocken, verwegen; ἰτη-τέο-ν (=ἰ-τεο-ν) man muss gehen (Arist. Nub. 131; Diphil B. A. 100)[3], ἰτητ-ικό-ς = ἴτης (ἰτητικώτατον ὁ θυμὸς πρὸς τοὺς κινδύνους Aristot. Eth. 3. 8); ἰτα-μό-ς = ἴτης und ἰτητικός, ἰταμό-τη-ς (τητ-ος) f. Dreistigkeit; ἐξ-ίτηλο-ς leicht ausgehend (von Farben), schnell verschwindend, verschwunden, verloschen; i-to: ἀ-πρός-ιτο-ς unzugänglich, δυς-πάρ-ιτο-ς woran schwer vorbeizukommen ist, εὐ-πρός-ι-τος leicht zugänglich; ἁμαξ-ι-τό-ς (erg. ὁδός, vgl. Xen. Anab. 1. 2. 21) f. für Frachtwagen zug., von Fr. befahren;)». Πρβ. καὶ Λ.

Μεϋῆρον ἐν *Vergl. Gramm.* Τόμ. Α', σελ. 634. Περὶ τοῦ ἁμαμαξιτός· ἁμαξιτός ἴδε τὸ ὑπὸ τοῦ Ἐβελιγγίου ἐκδοθὲν Ὁμηρικὸν Λεξικὸν Τόμ. Α', σελ. 91. Σημειωτέον δ' ὅτι ἐλέχθη καὶ ἴτηλον, ἵνα δηλωθῇ τὸ ἐναντίον τοῦ σημαινομένου ὑπὸ τοῦ ἐξίτηλον. Ἡσύχ. «Ἴτηλον: τὸ ἔμμονον καὶ οὐκ ἐξίτηλον. Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ» καὶ Φώτ. Λεξ. σελ. 118, 3 «Ἴτηλον: τὸν οὐκ ἐξίτηλον, ἀλλ' ἀνεξάλειπτον. Οὕτως Αἰσχύλος».

Ἐν τέλει μνημονεύομεν τὰ ὑπὸ τοῦ Καυήρου γεγραμμένα ἐν *Delect Inscr Graec.* σελ. 136 ἐκδ. α' «ἐπανιτακώρ v. 8, partic. perf. verbi, quod apud Eleos in usu fuisse statuendum est, frequentativi (ἐπαν-)ιτάω» καὶ σελ, 185 ἐκδ. β' «ἐπανιτακώρ: subest ἰτάω verbum frequentativum; cf. εἰτακεῖν· ἐληλυθέναι, Hesych». Σφόδρα ἡμεῖς ἀμφιβάλλομεν ἂν εἶνε ὀρθῶς παρὰ τῷ Ἡσυχίῳ γεγραμμένον εἰτακεῖν.

ΚΕΦ. Ζ'.

Φύς-φύντες κακῶς ἀντὶ τοῦ φύσας-φύσαντες.

Ὁ πρῶτος ἀόριστος ἔφυσα συνᾴδει κατὰ τὴν διάθεσιν τῷ ἐνεστῶτι φύω, ὁ δὲ δεύτερος ἔφυν τῷ φύομαι. Κατὰ τὸν αὐτὸν τρόπον λέγεται ἵστημι-ἔστησα καὶ ἵσταμαι-ἔστην, σβέννυμι-ἔσβεσα καὶ σβέννυμαι-ἔσβην, καταδύω-κατέδυσα καὶ καταδύομαι-κατέδυν, ἐνδύω-ἐνέδυσα καὶ ἐνδύομαι-ἐνέδυν, κτλ. Οὕτω δὲ σαφῆ ταῦτα καὶ ἐναργῆ καθίστανται ἐκ τῆς πολλῆς καὶ τῆς αὐτῆς ἀεὶ οὔσης χρήσεως, ὥστ' οὐδένα δύνανται νὰ λανθάνωσι τῶν ἡμμένων πως ἑλληνικῆς παιδείας. Εἰκότως δέ τις ξενίζεται ἐντυγχάνων ἐν τοῖς Αἰθιοπικοῖς τοῦ Ἡλιοδώρου τῇ μετοχῇ φύς-φύντες κειμένῃ ἀντὶ τῆς φύσας-φυσαντες, ὅπερ μάχεται ἄντικρυς τῇ παρὰ τοῖς Ἕλλησι νενομισμένῃ συνηθείᾳ.

Ὁ ἀοίδιμος Κοραῆς ἐσημειώσατο ἐν τῇ ἐκδόσει τῶν Αἰθιοπικῶν τοῦ Ἡλιοδώρου Τόμ. Β', σελ. 72 «Φύντας: Ἐν ἅπασι δισυλλάβως καὶ προπερισπωμένως, Φῦντας, πλὴν τῆς Β, ἐν ᾗ ἄμεινον καὶ τῇ κοινῇ χρήσει μᾶλλον οἰκείως γράφεται, Φύσαντας. τὸ μὲν γάρ, Φύν-

τας (παρὰ τὸ, Φῦμι) ταὐτόν ἐστι τῷ Γεννηθέντας, οἷον τὸ (Εὐριπίδ. Ἡρακλεὶδ. 510), Πατρὸς δ' ἐκείνου φύντας, οὗ πεφύκαμεν· τὸ δὲ, Φύσαντας (παρὰ τὸ, Φύω) σημαίνει τὸ Γεννήσαντας, οἷον τὸ (Αὐτ. Φοινίσσ. 34), Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων. γένοιτο δ' ἂν κατάδηλος παρ' ἄλληλα τεθέντων τῶν ῥημάτων ἡ δύναμις, οἷον (Αὐτ. Φοινίσσ. 8), Πολύδωρον ἘΞΕΦΥΣΕ· τοῦ δὲ Λάβδακον ΦΥΝΑΙ λέγουσιν· ὤφειλον οὖν γράφειν, φύσαντας, εἰ μὴ ἐκώλυεν αὐτὸς Ἡλιόδωρος, γράψας καὶ ἐν ἄλλοις χωρίοις, Φύντα, ἀντὶ τοῦ, Φύσαντα, καὶ Φύντι, ἀντὶ τοῦ, Φύσαντι. καὶ οὐ θαυμαστὸν τοὺς ἐπὶ τῆς τοῦ Ἑλληνισμοῦ παρακμῆς γεγονότας πολλὰ τοιαῦτα καινοτομῆσαι, ὅπου γε καὶ τῶν πολλοῖς ἔτεσι προγεγονότων τοὺς πλείστους χαλεπὸν ἐν ἅπασιν ἀνεπιλήπτους εὑρεῖν» (Πρβ. καὶ σελ. 409).

Περὶ τῆς κακῆς ταύτης χρήσεως ἐποιήσατο λόγον καὶ ὁ πολὺς Κόβητος ἐν τῇ Μνημοσύνῃ 1857, σελ. 454· εἶνε δ' ὑπ' αὐτοῦ τάδε γεγραμμένα· «Quum nuper Heliodori Aethiopica relegerem plurima ab eo animadverti tam negligenter et vitiose contra Graecitatis usum usurpari ut longe longeque etiam hoc nomine caeteris scriptoribus Eroticis sit postponendus. Praeterea eius inflata et tumida oratio poëticis quibusdam vocabulis ineptum in modum distincta est, in quibus et ipsis eum subinde ioculariter admodum labi et ridicule se dare video. De genere hoc unum exemplum delibare iuvat, insignius caeteris ad demonstrandum quam imperiti isti sint Graecitatis antiquioris, quam se scribendo optime referre opinantur. Heliodorus ubi *parentes* aut *genitores* vult dicere usurpare solet participium οἱ φύντες. Legerat apud Veteres poëtas ὁ φιτύσας, ὁ φυτεύσας, ὁ φύσας, οἱ φύσαντες: legerat ὁ φύς et οἱ φύντες: illi *genitores*, hi *nati* sunt, ut ipsa ratio demonstrat et omnium poëtarum confirmat usus. Nihilominus iste ubi *parentes* vult dicere *natos* appellat, absurde *genitos* substituens iis *qui genuerunt*. Subiiciam exempla quaedam ex Hirschigii nova editione Eroticorum: p. 255, 29: τοῦ προελθεῖν εἰς τὸν τῇδε βίον — τοὺς φύντας ἴσμεν αἰτίους. p. 291, 14: γένος μὲν καὶ πατρίδα καὶ τοὺς φύντας κομίζεσθαι. p. 315, 14: διὰ τοῦ φύντος προμαθοῦσαν τὸν γάμον. p. 326, 49: ὄμματα τοῦ φύν-

τος μὴ καταιδέσαι τὸν παῖδα. p. 330, 53: σώζεται γὰρ ἡ περὶ τοὺς φύντας αἰδώς. p. 343, 49: ὁ τῶν φύντων ἀναγνωρισμός. p. 378, 52: τὰ βρέφη — τοὺς μὲν φύντας καὶ τρέφοντας ὑπέφευγεν. p. 387,51: ἐμέ τε καὶ τοὺς ἐμὲ φύντας γνώσεσθε. p. 388.3: τοὺς φύντας ἀναπεμφθήσεσθαι φανταζομένη. p 411,6: ὦ πάτερ, ἔλεγεν, ὦ τῶν φύντων οὐκ ἔλαττον ἐμοὶ σεβάσμιε. Idem semel participio φύντες usus est eodem modo, quo ratio et usus veterum Graecorum iubent pag. 260, 35: ἀλλὰ πᾶν ἔχειν ἡγήσομαι εἰ τούτους ὁπόθεν εἰσὶ καὶ ἐκ τίνων φύντες καὶ πῶς δεῦρο ἀφιγμένοι — βουληθείης ἐξαγορεῦσαι. Potuitne igitur turpins errari quam sic, ut οἱ ἐμὲ φύντες diceretur?».

Παρατηρητέον ὅτι ὑπὸ τοῦ Λυσίου ἐρρήθη ἐν μὲν τῷ Α΄ κατὰ Θεομνήστου Λόγῳ § 8 «εἰ μέν τίς σ' εἴποι πατραλοίαν ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην, εἰ δέ τις εἴποι ὡς τὴν τεκοῦσαν ἢ τὸν φύσαντα ἔτυπτες, ᾤου ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι», ἐν δὲ τῷ Β΄ § 4 «Οὐ γὰρ δήπου, ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν καλῇ σε, ὑπόδικός ἐστιν, ἐάν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτειν φῇ, ἀζήμιος ἔσται». Πρβ. καὶ Πλούτ. Ἠθ. σελ. 480, Δ΄ «ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτοῦ καὶ βαρυνόμενος οὐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκοῦσαν». Περὶ τῶν ῥημάτων γεννᾶν καὶ τίκτειν θὰ γραφῶσι τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ. Γνωστότατον ὑπάρχει τὸ ἐν ταῖς Φοινίσσαις τοῦ Εὐριπίδου στίχ. 17 «ὁ δ' εἶπεν· ὦ Θήβαισιν εὐίπποις ἄναξ, μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ· εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς». Πρβ. Εὐσέβ. Προπαρ. Εὐαγγελ. Τόμ. Α΄, σελ. 295, 21 Δινδ. «Προσεοικέναι γὰρ αὐτόν, ὡς λέγουσιν οἱ σοφώτατοι, τῷ Εὐριπιδείῳ λόγῳ· τεκνῶσαι μὲν γὰρ ἐθελῆσαι τὸν Λάϊον κύριον εἶναι τὸν Λάϊον καὶ τοῦτο ἐκπεφευγέναι τὴν Ἀπολλωνίαν ὄψιν· τεκνώσαντι δ' αὐτῷ ἐπεῖναι ἀνάγκην ἄφυκτον ὑπὸ τοῦ φύντος αὐτὸν ἀποθανεῖν» καὶ 28 «ἦν δέ που καὶ ὁ φὺς τῆς ἰδίας βουλήσεως κύριος, ὥσπερ ὁ φύσας».

Μνημονεύομεν καὶ ἃ ἔγραψεν ὁ λογιώτατος Ναβῆρος ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 151 «Judicium tulit de Heliodori oratione Cobetus ad calcem sexti Mnemosynes voluminis, sed, ut mihi quidem videtur, paulo severius. Unum affert exemplum ex quo appareat, quam sit Heliodorus Graecitatis antiquioris

imperitus. Appellat genitores perpetuo, unico loco excepto p. 260. 35, τοὺς φύντας, quo vocabulo apud veteres poetas non *genitores* indicantur, ut aequum est, sed *nati*. Probat hoc Cobetus allatis decem locis: reliquos tres indicare omisit: p. 288.40 φρόνημα βασίλειον καὶ πρὸς τοὺς φύντας ἀναφέρον, p. 336. 29 τὸν φύντα καὶ ἔχοντες καὶ αἰδεσθέντες, p. 336, 35 ἥδοντο ἐπὶ τῷ φύντι σωζομένῳ».

Οὐ μόνον δ' ὑπὸ τοῦ Ἡλιοδώρου εἶνε παρειλημμένη ἡ μετοχὴ τοῦ δευτέρου ἀορίστου ἔφυν ἀντὶ τῆς τοῦ πρώτου ἔφυσα ἀλλὰ καὶ ὑπὸ Ξενοφῶντος τοῦ Ἐφεσίου Α', ι', 9 «τῶν μέν, ὦ παῖδες, λεγόντων, φίλτατοι, ἆρα ἔτι ὑμᾶς οἱ φύντες ὀψόμεθα;». Ὁ Ναβῆρος γράφει ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 217 «Quod apud Heliodorum vidемus, eum *parentes* τοὺς φύντας appellare, idem error apud Xenophontem occurrit p. 339. 24».

Τῶν παλαιοτέρων φιλολόγων τις ἀγνοῶν, ὡς φαίνεται, τὴν ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ γινομένην χρῆσιν τοῦ φύς-φύντες ἀντὶ τοῦ φύσας-φύσαντες μετετύπωσε τὸ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 17, 7 «Ῥῶμος καὶ Ῥωμύλος οἱ παῖδες ἐξ Αἰνείου ἕλκοντες μητρόθεν τὸ γένος· τὸ γὰρ τοῦ φύντος ἄδηλον» εἰς τὸ φύσαντος. Ἀλλ', ὡς παρετηρήθη ὑπὸ τοῦ Βεκκήρου ὑπερμαχοῦντος τῆς παραδεδομένης γραφῆς, ἀπαντᾷ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου καὶ σελ. 52, 7 «ἃ δ' ἐστὶν αὐτῷ ὑποβολιμαῖα, σώζει μὲν τῶν φύντων τὸν χαρακτῆρα, πλὴν ἔστι καὶ ἃ τῇ μοχθηρᾷ παρ' αὐτοῦ διαίτῃ καὶ διασκευῇ τοῦ λόγου τὸ γενναῖον καὶ ἀρρενωπὸν τῶν γεννησαμένων ἀπεβάλλετο» καὶ σελ. 55,10 «ἀλλὰ καὶ ὁ ἕτερος τῶν παίδων Ἀρμενέριχος οὐ συμπαρὼν τῷ φύντι τὸν φόνον τότε διέφυγε» καὶ σελ. 193, 6 «ἐκεῖθεν δὲ καὶ κατὰ μετοχὴν καὶ τοῦ φύντος πατρός, ἐξ οὗ καὶ τὸ καλεῖν πατέρα τὸν θεὸν τὸ γηγενὲς ἐπαιδαγωγήθημεν» καὶ σελ. 344, 22 «ἄμφω δὲ καὶ ὁ παῖς καὶ ὁ φὺς ἀσεβέε ἤστην». Ἐν σελ. 214, 10 εἶνε γεγραμμένον «μῖσος ἡ γένεσις βιάζεται τοὺς φύντας εἰς τοὺς φυομένους ἀντὶ τῆς στοργῆς ἔχειν», ἀνθ' οὗ ἀναγνωστέον ἴσως «τοὺς φύοντας εἰς τοὺς φυομένους».

Κεῖται δὲ καὶ παρὰ Μιχαὴλ τῷ Ψελλῷ Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ', σελ. 92 «ἧς καὶ ὁ πατὴρ βασιλεὺς καὶ ὁ ἐκεῖνον φὺς καὶ ὁ τοῦτον αὖθις ἀποτεκών» καὶ παρὰ Θεοδώρῳ τῷ Προδρόμῳ Ζ', 78

«τί γὰρ φίλην γῆν, μητροπατρῷον πέδον, τὸν φύντα, τὴν τεκοῦσαν, ἀδελφοὺς φίλους, ἡλικιώτην ὁρμαθὸν συμπαρθένων, — ἀφῆκα» καὶ Θ', 264 «πλὴν ἀλλὰ γὰρ τὸν φύντα μὴ παροπτέον» καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις σελ. 506, 16 Βεκκ. «ὅθεν καὶ διφυᾶ φησιν αὐτὸν λέγεσθαι ὁ Χάραξ, ὅτι τοὺς δύο φύντας δι' αὐτὸν πρῶτον ἔγνωσαν ἄνθρωποι» καὶ ἐν τοῖς εἰς Ἡρόδοτον Τόμ. Β', σελ. 433 Στειν. «ὁ ἐξ αὐτῶν τεχθεὶς Ἀχαιμένης ἐκλήθη, καὶ βασιλεύσας μετὰ τὸν φύντα, ἐκάλεον αὐτὸν Ἀχαιμενίδαν». Σημειωτέον δ' ὅτι ἐν τοῖς ἐκ τοῦ Ἱεροσολύμων Κυρίλλου μνημονευομένοις ὑπὸ τοῦ Κ. Κοντογόνου ἐν τῇ Φιλολογ. καὶ Κριτ. Ἱστορίᾳ τῶν Πατέρων Τόμ. Β', σελ. 264 λέγεται «χριστιανῶν εὐσέβεια ἐνάρετος πρώτη τὸ τιμᾶν τοὺς γεννήτορας, τὸ τοὺς πόνους ἀμείψασθαι τῶν φύντων».

Παντοίων κηρῶν γέμει ὁ μεταγενέστερος ἑλληνισμὸς καὶ μάλιστα ὁ Βυζαντιακός· μία δὲ τῶν δεινοτάτων εἶνε ἡ χρῆσις τῆς μετοχῆς φύς-φύντες ἐπὶ μεταβατικῆς διαθέσεως. Οὐδεὶς δὲ δύναται νὰ μὴ θαυμάζῃ μεγάλως βλέπων ὅτι ἄνδρες ἐθάδες ὄντες τῆς Ἑλληνικῆς φωνῆς οὕτω καταγελάστως ἡμάρτανον. Ἐσφάλη δὲ καὶ ἐν τοῖς νεωτέροις χρόνοις Ἕλλην τις καταγελαστότατα χρησάμενος τῷ ῥήματι ἁλίσκεσθαι ἐπὶ ἐνεργητικῆς σημασίας ἀντὶ τοῦ αἱρεῖν. Ὁ θαυμάσιος οὗτος Ἕλλην, Παρθένιος Κατζιούλης καλούμενος, ἐν Συναγωγῇ Παροιμιῶν κατακεχωρισμένῃ ὑπὸ τοῦ Νικ. Πολίτου ἐν ταῖς ὑπ' αὐτοῦ ἐκδιδομέναις Παροιμίαις Τόμ. Α', σελ. 69-132 ἔγραψε τὴν χαριεστάτην τήνδε φράσιν σελ. 73 «Ἁμάξῃ Ἀγαρηνοὶ ἁλίσκονται τὸν λαγόν». Σφόδρα παλαιὸς Ἕλλην θὰ ἐδυσαρεστεῖτο καὶ Σκύθου ἀκούων τοιαύτην φράσιν προφέροντος. Ὑπὸ μόνου δὲ τοῦ Σάθα ἦτο δυνατὸν νὰ ἐκδοθῇ Μεσαιων. Βιβλιοθ. Τόμ. Δ', σελ. 137 «Ἔδεισαν ἥλω».

Τοῖς δευτέροις ἀορίστοις ἔφυν καὶ ἔδυν καὶ ἔστην καὶ ἔσβην συμφωνοῦσι κατὰ τὴν διάθεσιν οἱ παρακείμενοι πέφυκα καὶ δέδυκα καὶ ἕστηκα καὶ ἔσβηκα. Περὶ τοῦ παρακειμένου δέδυκα παρατηροῦμεν ὅτι καὶ ἁπλοῦς ὢν ἔχει ἀμετάβατον σημασίαν καὶ σύνθετος, οἷον εἰσδέδυκα-παρεισδέδυκα, ἐκδέδυκα, ἐνδέδυκα, καταδέδυκα-ἐγκαταδέδυκα, παραδέδυκα, προδέδυκα, ὑποδέδυκα. Θωμᾶς ὁ Μάγιστρος λέγει σελ. 162, 17 Ῥισχ. «Ἐνδεδυκώς: ὁ ἐνδεδυμένος, οὐχ ὁ ἐνδύσας· ὁ αὐτὸς (ὁ Λουκιανὸς δηλ.) ἐν τῷ αὐτῷ·

οὐκέτι τὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα. Καὶ αὖθις ἐν τῷ Δὶς Κατηγορούμενος· κάνδυν ἐνδεδυκότα ἐς τὸν Ἀσσύριον τρόπον». Πρβ. Πλάτ. Κρατ. σελ. 411, Α' «ἐπειδήπερ τὴν λεοντῆν ἐνδέδυκα» καὶ Νόμ. σελ. 947, Γ' «πρώτους δὲ προϊέναι τοὺς ἠθέους τὴν πολεμικὴν σκευὴν ἐνδεδυκότας ἑκάστους» καὶ Ἡρόδ. Θ', 22. Ἀλλ' ὁ παρακείμενος ἀποδέδυκα εἶνε τεθειμένος ἐπὶ μεταβατικῆς διαθέσεως ὑπό τε τοῦ Ξενοφῶντος Ἀναβ. Ε', η', 23 «Βοίσκος γοῦν ὁ πύκτης ὁ Θετταλὸς τότε μὲν διεμάχετο ὡς κάμνων ἀσπίδα μὴ φέρειν, νῦν δ', ὡς ἀκούω, Κοτυωριτῶν πολλοὺς ἤδη ἀποδέδυκεν» καὶ ὑπὸ Δίωνος τοῦ Κασσίου Τόμ. Β', σελ. 204 Δινδ. «οὕτω γὰρ αὐτοὺς ἀποδέδυκε καὶ σεσύληκεν ὥστε μηδέν σφας νεκρῶν διαφέρειν». Πρβ. καὶ Ῥουφῖν. ἐν Ἀνθολ. Παλατ. Ε', 73 «τοῦτο πόθεν; σύ, δοκῶ, τὴν θεὸν ἐκδέδυκας» καὶ Βί. Ἀλεξ. 5464 (Trois Poèmes Grecques Wagn. σελ. 221) «πορφύραν τὴν βασιλικὴν αὐτὸν ἐνδεδυκότες». Γράφει δ' ὁ Ναύκιος ἐν *Mél. Gréco Rom.* Τόμ. Δ', σελ. 359 «Bei dieser Notiz ist ausser Acht gelassen die verschiedene Bedeutung des intrasitiven δεδῦκα und des transitiven δέδῦκα (τὴν θεὸν ἐκδέδυκας sagt Rufinus Anthol. Pal. 5, 73). Die beiden Perfecta δέδῦκα und δέδῦκα verhalten sich zu einander wie ἔδυν und ἔδυσα oder wie ἕστηκα, ich habe mich gestellt ich stehe, und ἕστακα, ich habe gestellt (wofür in älterer Zeit στήσας ἔχω gesagt wird). Als transitiv finden wir δέδυκα gebraucht schon bei Xen. Anab. 5, 8, 23: Βοίσκος — πολλοὺς ἤδη ἀποδέδυκεν. Ein intransitives δέδῦκα habe ich mir angemerkt aus keinem früheren Autor als Tzetzes Posthom. 58: καλὴ Πενθεσίλεια — ἀργύρεον θώρηκα πανάστερον ἐνδεδυκυῖα» καὶ ὁ Σχοῦλζιος ἐν *Quaest. Ep.* σελ. 317 «Intr. δέδῦκα (etiam aeol. Sapph. q. d. fr. 52, 1): trans. δέδῦκα (AP. V 73, 6) = intr. ἕστηκα: trans. ἕστᾰκα. Vidit quid rei esset Meineke (v. Bamberg ZG. XXVIII 25).

Ἰσχυρῶς ὁ Κόβητος ἀποδοκιμάζει ἐν *Nov. Lect.* σελ. 791 τὴν κατὰ συστολὴν τοῦ Υ ἐκφορὰν τοῦ παρακειμένου ἐκδέδυκα λέγων ·Nihil est de genere hoc, in quo non turpiter impingant equiores. Defungar nunc quidem uno exemplo Rufini, qui in Epigrammate XI. (apud Iacobs. III. p. 101) ita canit: νῦν

Πᾶς τις μὴ παντελῶς ἰδιώτης τῆς Ἑλληνικῆς φωνῆς ὢν κατανοεῖ παραχρῆμα ὅτι ἀτοπώτατ' ἐν τῇ ῥήσει ταύτῃ κεῖται τὸ ῥῆμα θαυμάζονται οὐδὲν ἄλλο ὂν ἢ ἡμαρτημένη ἀνάγνωσις τῆς μετοχῆς θαυμάζοντες· ἐκέλευσε δὲ καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1876, σελ. 230 νὰ γραφῇ θαυμάζοντες ἀντὶ τοῦ θαυμάζονται. Ἐν τῇ Τευβνηρείῳ ἐκδόσει μικρῶν τοῦ Γαληνοῦ Συγγραμμάτων Τόμ. Β΄, σελ. 3 εἶνε γεγραμμένη ἡ σημείωσις ἥδε «θαυμάζοντες U Cor. Cobet. in Mnem. IV 230 θαυμάζονται LMP edd».

Ὡς δ' ἐν τῷ προκειμένῳ χωρίῳ συνέταξεν ὁ Γαληνὸς τὸ καίτοι μετὰ μετοχῆς «δι' ἥν, καίτοι θαυμάζοντες ἅπαντες τὸν ἄνδρα, μήτ' ἀναγινώσκουσιν αὐτοῦ τὰ συγγράμματα κτέ.», οὕτω καὶ ἐν ἄλλοις πολλοῖς σφόδρα τῇ συντάξει ταύτῃ ἀσμενίζων, οἷον

Τόμ. Α΄, σελ. 2 «καὶ τοῦ νεῖν οὐκ ἀνάσκητός ἐστι, καίτοι πεζὸς ὤν» σελ. 169 «ἀλλά, καίτοι τοῦ αὐτοῦ πάθους ὄντος, διαφόρῳ θεραπείᾳ χρώμεθα διὰ τὴν διαφορὰν τῶν αἰτιῶν». σελ. 345 «ἡ πιμελὴ δ' ὅμως αὐτοῖς, καίτοι γε ἰσχνοῖς οὖσι, παρέσπαρται τῇ σαρκί». σελ. 414 «ἓν εἶναί σοι καὶ ταῦτα φανεῖται πάντα, καίτοι γε οὐχ ἓν ὄντα». σελ. 423 «εἰ τοὺς δύο δακτύλους περιπλέξειας ἀλλήλοις, καίτοι γ' αἰσθητικοὺς ὄντας, οὐδεὶς ἕπεται πόνος κτέ.». σελ. 425 «καθάπερ καὶ τὸ ἡμέτερον σῶμα, καίτοι φανερῶς ὑπάρχον αἰσθητι-

κόν, ὅμως οὐκ αἰσθάνεται». σελ. 448 «ὀρθοῦν τὸν τοῦ Μελίσσου λόγον, καίτοι γ' ἄτοπον ὄντα δεινῶς καὶ παρὰ πᾶσαν ἐνάργειαν εἰρημένον». σελ. 519 «ἐπελάθοντό τε καὶ τελέως παρέλιπον, ὥσπερ μηδ' ὅλως οὖσαν, καίτοι μηδὲ φθέγξασθαί τι χωρὶς ἐκείνης ὑπὲρ τῶν ἄλλων δυνάμενοι». σελ. 660 «ὥσπερ οὐδὲ τοὔλαιον ἀνάπτει τὴν φλόγα, καίτοι γ' οἰκειοτάτη τροφὴ πυρὸς ὑπάρχον». σελ. 665 «καὶ χρώμενοι μεγάλα πρὸς αὐτῆς ὀνινάμεθα, καίτοι τῆς ἀμέτρου καιούσης ἡμᾶς»

Τόμ. Β', σελ. 22 «ὡς γὰρ ὑπὸ βοτανῶν οὐδ' ὅλως δυνάμεθα τρέφεσθαι, καίτοι τῶν βοσκημάτων τρεφομένων, οὕτως ὑπὸ ῥαφανίδων τρεφόμεθα μέν, κτλ.». σελ. 34 «ἀλλὰ καὶ πρὸς ταῦτ' ἀντιλέγειν οἱ νῦν Ἀσκληπιάδειοι πειρῶνται, καίτοι πρὸς ἁπάντων τῶν παρατυγχανόντων αὐτοῖς, ὅταν περὶ τούτων ἐρίζωσι, καταγελώμενοι». σελ. 44 «οὐ γὰρ ἐπιτρέπουσιν οἱ σοφισταὶ τῶν ἀξίων τι ζητημάτων προχειρίζεσθαι, καίτοι παμπόλλων ὑπαρχόντων». σελ. 45 «Ἐπίκουρος μὲν οὖν, καίτοι παραπλησίοις Ἀσκληπιάδῃ στοιχείοις εἰς τὴν φυσιολογίαν χρώμενος, ὅμως ὁμολογεῖ». σελ. 51 «ἅμα δ' ἀποπάλλεσθαι τοῦ μετ' αὐτὸ τεταγμένου, καίτοι κατὰ πᾶν ὁμοίου τὴν φύσιν ὑπάρχοντος». σελ. 53 «ἡμεῖς δ' ἐπειδή, καίτοι φεύγοντες ἀντιλέγειν τοῖς ἐν αὐταῖς ταῖς ἀρχαῖς εὐθὺς ἐσφαλμένοις, ὅμως ἠναγκάσθημεν ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς ἀκολουθίας εἰπεῖν τινα καὶ διαλεχθῆναι πρὸς αὐτούς, ἔτι καὶ τοῦτο προσθήσομεν τοῖς εἰρημένοις». σελ. 63 «ἥν, καίτοι πάνυ σαφῶς ἀληθῆ γινώσκων ὑπάρχειν ὁ Ἐρασίστρατος, οὔτ' ἐμνημόνευσεν οὔτ' ἀντεῖπεν». σελ. 118 «τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἐρασίστρατος ὁμολογεῖ, καίτοι μὴ βουλόμενος». σελ. 175 «ὄψει καταπῖνον αὐτό, καίτοι τῆς περισταλτικῆς ἐνεργείας ἀπολωλυίας». σελ. 238 «οὐ μὴν τούς γε τὴν γαστροκνημίαν ἐργαζομένους ἕνα τίθενται, καίτοι δι' ἑνὸς τένοντος ὑπολαμβάνοντες ἐμφύεσθαι τῇ πτέρνῃ». σελ. 269 «ὥσπερ ἀμέλει καὶ ὁ τοῦ μεγάλου δακτύλου, καίτοι μικρὸς ὤν». σελ. 307 «καταφυόμενος δὲ εἰς τὸ κάτω τοῦ μικροῦ τροχαντῆρος οὐκ ἀρρώστῳ τένοντι, καίτοι σμικρὸς αὐτὸς ὤν». σελ. 331 «κοῖλος ὁ μεταξὺ φαίνεται τόπος τῶν ἐπὶ τῆς κεφαλῆς τῆς κνήμης κοιλιῶν, καίτοι γ' ὑψηλότερος ὤν». σελ. 347 «οὐ γὰρ ἀνάλογον ἔχει ταῖς προσηγορίαις τὰ κῶλα, καίτοι ταῖς κατασκευαῖς ἀνάλογον ἔχοντα». σελ. 470 «ὃν οὐκ ἐθεασάμην μὲν ἐγὼ ζῶντα, καίτοι

πᾶσι τοῖς Κοίντου μαθηταῖς συγγενόμενος». σελ. 483 «ἐπιπεφυκέναι τὸν μῦν τόνδε τῷδε, καίτοι ἀποδέρεσθαι δυνάμενον». σελ. 524 «ἀλλὰ τό γε διάφραγμα διὰ ταῦτα τὰ ἐκπίπτοντα μόρια καὶ μέντοι διὰ τὰς ψόας οὐ συνέφυ τοῖς τῆς ῥάχεως σπονδύλοις ἐνταῦθα, καίτοι δεόμενον». σελ. 529 «ἀεὶ δὲ μᾶλλον εὐτραφέστεροι γίνονται, καίτοι γ' ἀπὸ λεπτῶν ἀρχόμενοι τῶν κεφαλῶν». Πρβ. καὶ σελ. 304 καὶ σελ. 448.

Τόμ. ϛ', σελ. 792 «φαρμάκου δηλητηρίου πλησίον ἥκουσιν, ὥσπερ καὶ τὰ μόρα, καίτοι μετριώτερα τῶν Περσικῶν ὀνομαζομένων ὄντα καὶ τῶν κοκκυμήλων». σελ. 833 «ἐνδέχεται τοιαύτην τινὰ γενέσθαι φαντασίαν, καίτοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας». σελ. 851 «ἀλλ' οἴονται σοφόν τι πράττειν, καίτοι γε πλημμελοῦντες».

Τόμ. Ι', σελ. 753 «ὥσπερ ἀμέλει καὶ αὐτὰ τὰ τῶν ζῴων σώματα, καίτοι τὸ πλεῖστον τῆς ἑαυτῶν οὐσίας ὑγρὸν καὶ θερμὸν ἔχοντα, διαρκεῖ πάμπολυν ἐτῶν ἀριθμὸν ἄσηπτά τε καὶ ὑγιῆ». σελ. 764 «ἔσχατος γὰρ ἐν τῇ τῶν βοηθημάτων τάξει σκοπὸς ὁ ἀπὸ τοῦδε, καίτοι καθ' ἕτερον τρόπον ὑπάρχων πρῶτος». σελ. 783 «κατ' ἀρχὰς μὲν οὖν ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν, καίτοι μᾶλλον τῶν πενήτων ἁλισκόμενοι ταῖς πληθωρικαῖς διαθέσεσιν». σελ. 799 «οὕτως οὖν καὶ τῷ καστορείῳ χρώμεθα, καίτοι γ' ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι φλεγμονῶν». σελ 817 «κατὰ τοῦτον τὸν λογισμὸν καὶ ἡμεῖς αὐτοί, καίτοι μάλιστα πάντων ἐξιστάμενοι χρῆσθαι καρωτικοῖς φαρμάκοις, ἔσθ' ὅτε καὶ κωλικοῖς ἐδώκαμεν αὐτὰ κτέ.». σελ. 906 «πάντα γὰρ ἀνιαρὰ τὰ τοιαῦτα τοῖς ὀφθαλμοῖς, καίτοι κατὰ τὸ γένος ὄντα τῆς ἐνδείξεως». σελ. 1019 «ἔμενε δὲ κάτω, καίτοι τῶν ὑποχυμάτων μὴ μενόντων».

Τόμ. ΙΑ', σελ. 95 «ἑλκοῦται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καίτοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων». σελ. 153 «καὶ διὰ τοῦτο, καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας, ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐμβαῖνον ἀγγείοις». σελ. 161 «ἐπὶ γοῦν τῆς προειρημένης γυναικός, καίτοι τρομώδους οὔσης, οὐκ ἐμέλησε τέμνειν τὴν φλέβα». σελ. 170 «τοῦτο οὐκέτι πάντες γινώσκουσι, καίτοι σαφῶς Ἱπποκρά-

τους διδάξαντος». σελ. 210 «ὅτι κακῶς οὐκ ἔφθασεν ἐκκενῶσαι ταῦτα, καίτοι γινώσκων εὐθὺς ἐξ ἀρχῆς ὡς πληθωρικὴ διάθεσις εἴη περὶ τὸν ἄνθρωπον». σελ. 212 «ἀλλὰ κἂν τοῦτό τις αὐτοῖς συγχωρήσῃ, καίτοι φανερῶς ὂν ἄτοπον». σελ. 304 «ταῦτα μὲν ἐν παρέργῳ λελέχθω, καίτοι γ' οὐκ ὄντα πάρεργα, διότι τῇ τοῦ αἵματος ἐκ μήτρας φορᾷ συνεργεῖ». σελ. 313 «οὐ μὴν ἐφ' ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι, καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας». σελ. 335 «ἡ μέλαινα χολὴ προτέρα τοῦ αἵματος ἕλκεται, καίτοι γε οἷον ἰλύς τις οὖσα τοῦ αἵματος, ὡς ἐν τοῖς οἴνοις ἡ τρύξ». σελ. 359 «ταῦτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑποθήκας, καίτοι πάνυ χαρίζεσθαί σοι προῃρημένος». σελ. 369 «τὸ δὲ νᾶπυ, καίτοι γ' ἐπιτηδειότατον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς χυμούς, ὡς ἁπτόμενον τῆς κεφαλῆς παραιτητέον». σελ. 408 «οὕτω γοῦν καὶ τοὔλαιον, καίτοι ῥᾳδίως ἐκφλογούμενον, οὐ πάνυ τι ταχέως οὐδ' ἐναργῶς ἡμᾶς θερμαίνει τῷ γλίσχρῳ καὶ παχυμερεῖ τῆς οὐσίας». σελ. 443 «συλλογίζονται στύφειν αὐτά, καίτοι μηδ' ἐλαχίστης μετέχοντα στύψεως». σελ. 516 «ἔτι τοίνυν ἐκ τοῦ μὴ βλάπτειν μηδ' ἐξαλείφειν αὐτὸ τὰ διὰ τοῦ μέλανος ἐν τοῖς βιβλίοις γραφόμενα, καίτοι τῶν γε ἄλλων ὑγρῶν ἁπάντων ἐξαλειφόντων, κτέ.». σελ. 517 «τὰ δ' αὐτὰ καὶ περὶ τοῦ μὴ καλῶς ἐλαίῳ δεύεσθαι τὴν γῆν, καίτοι τοῖς ἄλλοις ὑγροῖς βρεχομένην». σελ. 528 «ψυχροῦ δ' ὄντος τοῦ περιέχοντος, ἀλλήλους ἂν οἱ ἄνθρωποι θερμαίνειν λέγοιντο, καίτοι γε οὐ θερμαίνοντες ἀλλ' εἴργοντες τὸ ψυχρόν». σελ. 560 «ἀλλὰ γάρ, οὐκ οἶδ' ὅπως, καίτοι φυλαττόμενος ἀντιλογίας ἅψασθαι, πρὸς τῆς ἀναισχυντίας αὐτῶν ἠναγκάσθην». σελ. 576 «ἐπεί τοι καὶ τοῖς φακοῖς, καίτοι στῦψιν ἱκανὴν ἔχουσι κατὰ τὴν γεῦσιν, ὅμως ὑπάρχει τι τοιοῦτον» καὶ «καὶ γάρ τοι καὶ ὁ τῶν πρεσβυτέρων ἀλυκτρυόνων ζωμὸς ὑπάγει τὴν γαστέρα, καίτοι τῆς σαρκὸς σταλτικῆς οὔσης». σελ. 677 «ἀλλ' οὐ τό γε γάλα, καίτοι γλυκὺ πρὸς τὴν γεῦσιν ὑπάρχον». σελ. 680 «δριμὺ προσαγορεύειν εἰθίσμεθα, καίτοι πολλῶν ὄντων κατ' εἶδος τῶν τοιούτων σωμάτων». σελ. 688 «τούτων δ' ἔτι λεπτομερέστερα, καίτοι γεώδη ταῖς συστάσεσιν ὑπάρχοντα, τίτανός τε καὶ κανθαρὶς καὶ ὁ θαλάττιος λαγωός». σελ. 696 «δάκνει δ' αὐτὰς ἤδη τὸ ἄνθος τοῦ νίτρου, δάκνει δὲ καὶ τὸ ἀφρόνιτρον, οὐδὲν δὲ ἧττον καὶ τὸ νίτρον αὐτό, καίτοι γε ἧττον ἐκείνων ὑπάρχον θερμόν». σελ. 779

«οὐ μὴν ὠνόμασταί γε ὀξυήκοός τις δύναμις, ὥσπερ οὐδὲ κατὰ τὴν ὄσφρησιν ἢ τὴν γεῦσιν ἢ τὴν ἀφήν, καίτοι γε ἐν αὐτοῖς τοῖς αἰσθητοῖς πράγμασιν ἀναλόγως ὑπαρχούσης». σελ. 804 «ὡς ὁ θαυμασιώτατος Πάμφιλος, καίτοι ταύτην πρώτην πόαν γράφων κτἑ».Πρβ. καὶ σελ. 844.

Τόμ. ΙΒ', σελ. 18 «λεπτομερέστερον μὲν γίγνεται τῆς ὅλης κεδρέας (κεδρίας), ἧττον δὲ δριμύ, καίτοι θερμαῖνον οὐχ ἧττον». σελ. 1!2 «δι' αὐτὸ γάρ τοι τοῦτο, καίτοι στῦφον, ὅμως οὐ σπάσματα μόνον ἀλλὰ καὶ ῥήγματα καὶ ὀρθόπνοιαν ὠφελεῖ». σελ. 175 «μηδὲν μετὰ ταῦτα παθόντων σύμπτωμα τῶν ἑπομένων λαγωῷ τε καὶ κανθαρίσι, καίτοι τῆς δόσεως τῶν ὀλεθρίων φαρμάκων ἐλεγχθείσης». σελ. 185 «διὰ τοῦτο μὲν οὖν, καίτοι γε πολλαῖς ψάμμοις χρυσοῦ καὶ ὑάλου ψηγμάτων περιεχομένων, οὐκ ἐπὶ πάσας οἱ περὶ ταῦτα δεινοὶ παραγίνονται». σελ. 191 «τούτους οὖν, ὡς ἔφην, ἡ ἐκ τῆς Ἀρμενίας βῶλος ἐναργῶς ὠφέλησε, καίτοι γ' ἐν Ῥώμῃ διατρίβοντας, ἔτι τε μᾶλλον τοὺς δυσπνοοῦντας συνεχῶς». σελ. 203 «οὐ μὴν ἐγὼ εἶδον ἐκεῖνον τὸν ποταμόν, καίτοι παραπλεύσας ὅλην Λυκίαν μικρῷ πλοίῳ τῆς ἱστορίας ἕνεκα τῶν ἐν αὐτῇ» σελ. 218 «— εὑρίσκουσι προσεσταλμένα, καίτοι γε γινώσκοντες ὡς εἰ βραχεῖ πλέον ἐπιθεῖεν, οὐ κατεσταλμένον ἀλλὰ καὶ καταβιβρωσκόμενον εὑρήσουσι τὸ ἕλκος». σελ. 228 «μετέχει γε μήν, καίτοι καίοντα, στύψεως» καὶ «ἧττον δ' ἐν τῷ προσφέρεσθαι ταῖς σκληραῖς σαρξὶ δάκνει τὸ μίσυ τῆς χαλκίτεως, καίτοι γε οὐχ ἧττον αὐτῆς ὂν θερμόν». σελ. 251 «ὁ γοῦν ἡμέτερος γενόμενός ποτε βασιλεὺς Ἄτταλος ἐλάττονα φαίνεται γράφων, καίτοι φιλοτιμότατα σχὼν περὶ τὴν τῶν τοιούτων πεῖραν». σελ. 357 «ταῦτα, καίτοι τῆς προκειμένης οὐκ ὄντα πραγματείας, ἔγραψα διὰ τὸ θαρρεῖν τῷ φαρμάκῳ». σελ. 396 «ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω, καίτοι γε οὐκ ὄντα πάρεργα». σελ. 443 «διὸ καὶ τὸν Ἀρχιγένη νομίζω, καίτοι σεμνότατον ὄντα, γεγραφέναι περὶ αὐτῶν ὧδέ πως αὐτοῖς ὀνόμασιν». σελ. 445 «φαίνεται δὲ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης πολλὰ καὶ δόκιμα φάρμακα τῆς κομμωτικῆς θεωρίας γεγραφώς, καίτοι μήπω τοσαύτης τρυφῆς κατεχούσης τὰς γυναῖκας, ὅση νῦν ἐστίν». σελ. 607 «διὰ τοῦτο δὲ γράφει πολλὰ παραδείγματα τῶν τοιούτων, καίτοι γε ἐν τοῖς περὶ τῶν ἁπλῶ φαρμάκων τῆς δυνάμεως εἰρηκὼς πάντα». σελ. 821 «ὁ δ' Ἀρχιγέ

νης ὀλίγων μνημονεύσας ἐφεξῆς αὐτῶν ἔγραψε τὴν διὰ χειρουργίας αὐτῶν θεραπείαν, καίτοι τῆς πραγματείας οὐ χειρουργικῆς ἀλλὰ τῶν περὶ τῶν κατὰ γένος φαρμάκων οὔσης;». σελ. 939 «περὶ δὲ τῶν χελιδόνων ἀμφότεροι γεγράφασιν ἀσαφῶς, καίτοι σαφῶς ἄλλων γεγραφότων, εἰ καὶ διαφωνοῦσιν ἀλλήλοις». σελ. 949 «ἰσχυρὸς δὲ οὐδενὸς ἧττόν ἐστι καὶ ὁ ἐκ τοῦ λέμματος τῶν καρύων, καίτοι γε οὐκ ὢν ἐν τῇ γεύσει στρυφνός». σελ. 971 «πλέον γὰρ αὐτὸς ἠγνόει τοῦ Ἀρχιγένους, καίτοι παρά τε τοῖς ἄλλοις παλαιοῖς εὐπορηκὼς τὴν χρῆσιν τῆς προσηγορίας κτέ.». σελ. 1002 «τί δή ποτ' οὖν ἠξίωσα δὶς γράψαι ταῦτα, καίτοι φυλαττόμενος οὕτως πράττειν;».

Τόμ. ΙΓ', σελ. 27 «τῆς μὲν γὰρ τοῦ μέλιτος δριμύτητος ἀνεχόμεθα, καίτοι καὶ αὐτῆς οὐκ οὔσης σφοδρᾶς διὰ τὴν ἄλλην αὐτοῦ χρείαν». σελ. 106 «τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπὶ πλεῖστον». σελ. 272 «μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων, κατὰ τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων». σελ. 463 «καὶ διὰ τοῦτο θαρραλεώτερον οἱ ἀπὸ τῆς ἐμπειρίας ἀποφαίνονται, καίτοι γε ἀδιανόητα λέγοντες». σελ. 559 «ἐγὼ δὲ καὶ τὴν ἔμπροσθεν ὁμοίως ὠνόμασα, καίτοι μέλαιναν ὑπ' αὐτοῦ κεκλημένην». σελ. 599 «δόξαν δ', οὐκ οἶδ' ὅπως, τῷ κατὰ τὴν πόλιν ἡμῶν ἀρχιερεῖ τὴν θεραπείαν ἐγχειρῆσαί μοι (γρ. ἐγχειρίσαι μοι) μόνῳ τῶν μονομάχων, καίτοι νέῳ τὴν ἡλικίαν ὄντι». σελ. 642 «οὔτε γὰρ παρ' Ἀσκληπιάδῃ τῷ φαρμακίωνι τὴν γραφὴν εὗρον οὔτε παρὰ Πετρωνᾷ οὔτε παρ' Ἀνδρομάχῳ, καίτοι πάντων τῶν πρεσβυτέρων ἰατρῶν ἄριστα φάρμακα γραψάντων». σελ. 661 «ἰσχυρῶς γὰρ ξηραίνει, καίτοι μετρίως δάκνον». σελ. 711 «ἔνια δὲ ὑπὸ μόνου λιβανωτοῦ, καίτοι μὴ σαρκοῦντος ἀλλὰ διαπυΐσκοντος ἐκείνας τὰς φύσεις». σελ. 848 «ὁ δ' Ἀσκληπιάδης, καίτοι μᾶλλον τοῦ Ἀνδρομάχου τοὺς ὁρισμοὺς εἰωθὼς προστιθέναι, παρέλιπεν ἐπὶ τῶν ἐπουλωτικῶν». σελ. 876 «εἰκότως οὖν κατὰ τὸ προκείμενον φάρμακον, καίτοι σκοπὸν ἔχοντος θερμῆναί τε καὶ ξηρᾶναι καὶ διὰ τοῦτο καὶ ψύδρακας ποιεῖν, ἐμίχθη τι καὶ τῶν στυφόντων». σελ. 892 «καὶ τῶν ἐμπειρικῶν ὀνομαζομένων ἔνιοι, καίτοι ἀξιόλογοι διὰ τῶν τῆς τέχνης ἔργων ὀφθέντες, ὅμως ἀγνοεῖν φασιν ᾧτινι λογισμῷ τῶν συνθέτων φαρμάκων ἕκαστον εὕρηται». σελ. 897 «καθάπερ οὐδ' ἡ τερμινθίνη ῥητίνη, καί-

τοι πολὺ πλαστικωτέρα κατὰ δύναμιν οὖσα τοῦ κηροῦ» (Πρβ. καὶ στίχ. 5). σελ. 900 «οὕτω τοι καὶ τῇ διὰ τῶν ἁλῶν ἐμπλάστρῳ διαφορητικῇ προσέθεσάν τινες χαλκάνθου βραχύ, καίτοι καὶ τῶν ἁλῶν αὐτῶν ἐχόντων τι στυπτικόν». σελ. 901 «διὰ τοῦτο καὶ οἱ ξηραντικοὶ κυκλίσκοι, καίτοι στύφοντες ἱκανῶς, ὅμως ἁρμόττουσι τοῖς γεγυμνωμένοις νεύροις». σελ. 912 «περὶ δὲ τῆς χαλκίτεως καὶ τῆς λεπίδος οὐδὲν ἔγραψε, καίτοι καὶ τούτων δυναμένων μετὰ τῆς θαλάττης λειοῦσθαι». Πρβ. καὶ σελ. 1009, 2.

Τόμ. ΙΔ΄, σελ. 23 «ἐθαύμασα θεασάμενος μέλι παραπλήσιον ἀκριβῶς Ἀττικῷ, καίτοι τοῦ ἄλλου μέλιτος ἀκριβῶς ἐν αὐτῷ φαυλοτάτου ὄντος». σελ. 73 «ἥνπερ καὶ στάχυν ὀνομάζομεν νάρδου, καίτοι ῥίζαν οὖσαν». σελ. 74 «καλουμένην ὑπὸ τῶν πολλῶν, οὐκ οἶδ' ὅπως, ἄνθος σχοίνου, καίτοι γ' ἡμῶν οὐ πάνυ τι τοῦ ἄνθους εὐπορούντων». σελ. 76 «ἐν τῇ γεύσει τε τὴν στύφουσαν ποιότητα παντάπασιν ἀμυδρὰν ἢ οὐδ' ὅλως ἔχει, καίτοι γε ἰσχυρὰν ἔχοντος τοῦ ἀκμαίου ῥήου». σελ. 79 «εὑρήσεις δὲ τὴν πεδιάδα γενναιοτέραν, καίτοι τῶν πλείστων βοτανῶν ἐν τοῖς πεδίοις ἀσθενεστέρων γεννωμένων». σελ. 588 «κρείττω γοῦν διὰ ταῦτα καὶ τῶν βαρβαρικῶν διαλέκτων ἑτέραν ἑτέρας φαμέν, οἷον τὴν Περσίδα τῆς Αἰθιοπικῆς, καίτοι μὴ σημαίνουσαν ἡμῖν». σελ. 630 «καίτοι διαβουλευομένων γε πολλῶν ἀντειπεῖν, ὅπως ἀκουσθῶσιν αὐτὸ τοῦτο μόνον».

Τόμ. ΙΕ΄, σελ. 13 «ὀλίγοι τινὲς τῶν ἀπαιδεύτων, ὅσοι τῶν μὲν ἐν αὐτῷ γεγραμμένων ἀποδείξεων οὐδεμίαν ἠδυνήθησαν ἐλέγξαι, καίτοι γ' ἐπιχειρήσαντες, ἀπεπνίγοντο δὲ ὑπὸ τοῦ φθόνου κτέ.». σελ. 143 «πρὸς γὰρ αὖ τοῖς ἄλλοις, ὥσπερ τὴν καρδίαν ἀμνημόνευτον εἴασεν, οὕτω καὶ αὐτὴν τὴν κοίλην φλέβα, καίτοι τῶν γε σφαγιτίδων μνημονεύσας, εἰς ἃς αὕτη σχίζεται». σελ. 145 «ἀλλ' οὐδὲ κατὰ πολλοὺς τοῦ ἥπατος τόπους φαίνονται, καίτοι πάμπολλαι τὸν ἀριθμὸν οὖσαι». σελ. 185 «οὕτως γοῦν τινες ὀνομάζουσι τοὺς Γερμανοὺς ξανθούς, καίτοι γε οὐκ ὄντας ξανθούς, ἐὰν ἀκριβῶς τις ἐθέλῃ καλεῖν, ἀλλὰ πυρρούς». σελ. 322 «καίτοι τῶν κατὰ γαστέρα πεπονθότων καὶ τῆς διαθέσεως αὐτῶν ἐκ τῶν διαχωρημάτων γνωριζομένης, ὅμως καὶ τῶν οὔρων μνημονεύει, ὡς λεπτῶν ὄντων». σελ. 328 «τοῦτο δὲ οὐ πάντες ἰατροὶ γινώσκουσι, καίτοι σαφῶς Ἱπποκράτους καὶ τοῦτο καὶ ἄλλα πολλὰ διδάξαντος». σελ. 357 «τὸ γὰρ

ἡμέτερον σῶμα, καίτοι φανερῶς ὑπάρχον αἰσθητικόν, ὅμως οὐκ αἰσθάνεται πρὶν παθεῖν ὑπό τινος». σελ. 358 «τοῦτο δὲ οὐ πάντες εἰδέναι βούλονται, καίτοι κατὰ τόνδε τὸν λόγον εἰρηκότος τοῦ συγγραφέως». σελ. 461 «κατὰ τοῦτο μὲν οὖν καὶ τοῦ μελικράτου πολὺ κρεῖττόν ἐστιν ἡ πτισάνη, καίτοι τὸ εὐέκκριτον, ὅπερ ἐφεξῆς εἶπεν ὑπάρχειν αὐτῇ, παραπλησίως τῷ μελικράτῳ κεκτημένη». σελ. 472 «ξηρότερον νόσημα πολυειδῶς γνωρίζεται, καίτοι τόν γε καθόλου καὶ κοινὸν λόγον ἔχον τὸν αὐτόν». σελ. 511 «διὰ τοῦτ' ἀναβαλλόμεθα τὴν δόσιν αὐτῆς, καίτοι τοῦ σώματος ἤδη δεομένου». σελ. 596 «διὰ τοῦτο καὶ τὸ πύον ἐπὶ ταῖς πεττομέναις φλεγμοναῖς γίγνεσθαί φησι, καίτοι μηδενὸς μορίου τὴν ἐκ πύου θρέψιν ἀναλαμβάνοντος». σελ. 597 «διὰ τοῦτο καὶ οὖρα τὰ ἄπεπτα πέττεσθαί φαμεν, καίτοι μὴ δυναμένου τοῦ σώματος ἐκ τῶν πεπεμμένων οὔρων τρέφεσθαι». σελ. 601 «ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα διά τε τὴν στενοχωρίαν τοῦ διαφράγματος ἔλαττον εἰσπνεῖσθαι τὸ πνεῦμα, καίτοι διαστολὴν διαστελλομένου τοῦ θώρακος κτέ.». σελ. 633 «τό γε μὴν ὑπεροπτηθὲν εἰς πικρότητα μεταβάλλει, καθάπερ καὶ τὸ μέλι, καίτοι πάντων γλυκύτατον ὄν». σελ. 638 «τῶν δὲ κάτω ἐντέρων τὸν γλυκὺν οἶνον οὔ φησιν εἶναι βλαβερόν, καίτοι βραδυπόρου οὔσης τῆς ἀπ' αὐτοῦ φύσης καὶ χρονιζούσης περὶ ὑποχόνδριον». σελ. 649 «ζητῆσαι δ' ἄν τις διὰ τί παρέλιπεν ὁ Ἱπποκράτης ἰδίᾳ περὶ τῶν τοιούτων οἴνων ἐν τῷ διηνυσμένῳ λόγῳ, καίτοι γε ἀλυποτέρων ὄντων τοῖς πυρέττουσιν ἤπερ οἱ ἄλλοι πάντες». σελ. 736 «ὥσπερ οὖν ἡμεῖς, καίτοι τὸν λογισμὸν ἔχοντες ἐπιστατοῦντα ταῖς ὀρέξεσιν, ——ἠναγκάσθημεν ἐπί τι τῶν ἁλμυρῶν καὶ δριμέων ἀφικέσθαι ποτῶν». σελ. 762 «ἀλλ' ὅμως ἐγώ, καίτοι γινώσκων ταῦτα καὶ παρ' ἑτέρου μαθὼν οὐδενός, οὐκ ἔχω μαντεύεσθαι τίνα ποτὲ λέγει τὰ ἐπισπαστικὰ ῥοφήματα». σελ. 766 «οὐ φλεβοτομοῦμεν δ' ἀεί, καίτοι τῆς πληθωρικῆς συνδρομῆς γενομένης». σελ. 891 «τινὲς οὐχ ὑποσαρκίδιον ἀλλ' ἐπισαρκίδιον γράφουσιν, οὐ μὴν ἀνὰ σάρκα τε καὶ κατὰ σάρκα γεγραμμένον εὑρόν που, καίτοι καὶ τῶν νεωτέρων οὕτως ὀνομαζόντων». σελ. 903 «τὰ δ' ἄλλα παρέλιπε, καίτοι τὴν αὐτὴν δύναμιν ἔχοντα».

Τόμ. ΙϚ', σελ. 111 «καὶ τὴν φλεβοτομίαν ἐνίοτε, καίτοι μὴ παρούσης τῆς πληθωρικῆς συνδρομῆς, χρὴ παραλαμβάνειν». σελ. 457 «οὐκέτι πάντες γινώσκουσι, καίτοι Ἱπποκράτους σαφῶς διδάξαντος».

σελ. 510 «ἐγὼ μὲν γάρ, ὡς ἔφην, οὐκ ἤκουσα καλοῦντος οὕτως οὐδενός, καίτοι πολλῶν ἀκούσας ἰατρῶν λεγόντων δασέα βλέφαρα τὰ τραχύτητα ἔχοντά τινα μετρίως». σελ. 547 «ἀλλὰ καίτοι τούτων οὕτως ἐχόντων καὶ φαινομένης ἐναργοῦς τῆς τῶν ἀσαφῶν ἀχρηστίας, ὅμως οὐκ ὀλίγοι τῶν σαφῶν συγγραμμάτων ἥδιον ὁμιλοῦσι τοῖς ἀσαφέσι». σελ. 551 «ἀλλὰ καὶ βραχυπόται πάντως εἰσὶν οἱ φρενιτικοί, καίτοι διάθεσιν ἔχοντες θερμὴν καὶ ξηράν». σελ. 582 «προσέθηκε γοῦν τῷ λόγῳ καὶ πάνυ φρενιτικαί, καίτοι δυνάμενος ἁπλῶς φρενιτικαὶ εἰπεῖν». σελ. 583 «καὶ νῦν γοῦν προειπὼν αἱ ἐκ ῥίγεος νωθρότητες ἐπήνεγκεν οὐ πάνυ παρ' ἑωυτοῖσιν, καίτοι δυνάμενος εἰπεῖν οἱ ἐκ ῥίγεος νωθροὶ οὐ πάνυ παρ' ἑωυτοῖσιν». σελ. 634 «ἐκ τούτου δῆλόν ἐστιν ὅτι, τῆς διαθέσεως ἔτι μενούσης, ἀναίσθητός ἐστιν αὐτός, καίτοι γε ὀδυνηρᾶς οὔσης διαθέσεως». σελ. 666 «καὶ γὰρ ἡμεῖς ἱστορήσαμεν ἐνίοις τῶν ἡπατικῶν ἄδηκτα διαχωρήματα λεπτὰ γιγνόμενα, καίτοι δακνόντων ὡς τὸ πολὺ τῶν τοιούτων διαχωρημάτων». σελ. 678 «ἐν δὲ τῷ προρρητικῷ τούτῳ, καίτοι πολλάκις φάρυγγος μνημονεύσας ὁ γράψας τὸ βιβλίον, οὐδὲν ἡμᾶς σαφὲς οὐδὲ διηρθρωμένον ἐδίδαξε περὶ τῶν κατὰ ταῦτα παθῶν». σελ. 719 «ἐξίστασθαι δέ, ὅπερ ἐστὶ παρακόπτειν σφοδρῶς, τούτους φησί, καίτοι μηδενὸς σημείου γενομένου τῆς ἐκστάσεως». σελ. 725 «περὶ σπασμοῦ λόγον πεποίηται οὐδένα, καίτοι τραχήλου πόνον εἰρηκὼς γεγονέναι μετὰ κώματος». σελ. 748 «διττὸν γὰρ ἁμαρτάνειν τρόπον αὐτούς, ἢ τῶν αἰσθητῶν οὐκ αἰσθανομένους, καίτοι σὺν ὀδύνῃ γιγνομένων πολλάκις, ἢ τῶν μὴ αἰσθητῶν αἰσθάνεσθαι δοκοῦντας». σελ. 820 «ἀλλ' οὐκ ἐτόλμησεν ἀποφήνασθαι περὶ αὐτῶν, καίτοι γε εἰωθὼς ἐπὶ τῶν κατὰ μέρος ὡς πολλάκις καθόλου ἀποφάσεις γράφειν».

Τόμ. ΙΖ', α', σελ. 25 «τέσσαρας μόνας διαφορὰς καταστάσεων γράψας, καίτοι παμπόλλων οὐσῶν». σελ. 66 «καίτοι μακρότερα γενόμενα καὶ μετὰ πυρετῶν, ὅμως εὐφόρως ἠνέχθη». σελ. 99 «τῶν προσηκόντων βοηθημάτων τῆς εὑρέσεως ἠπόρει, καίτοι δι' αὐτὸ τοῦτο χρησίμης οὔσης ἀνεγνῶσθαι τῆς γενέσεως τῶν ἐπιδημιῶν (γρ. ἐπιδημίων) νοσημάτων». σελ. 137 «μεμνῆσθαι δὲ χρὴ πάλιν ὅτι καὶ [illegible]ν ἀποστάσεις ἐπὶ στραγγουρίαν ἔφη γεγονέναι, καίτοι κατ' ἔκρουν, [illegible] κατ' ἀπόθεσιν τῶν λυπούντων χυμῶν ἀποχωρησάντων ὅλου τοῦ [illegible]ματος». σελ. 992 «οὐδὲν μὲν ἐγκαλεῖ περὶ τῆς γραφῆς, καίτο[illegible] γ'

ἀπόρου καὶ ταύτης τῆς λέξεως φαινομενης αὐτῷ». σελ. 1005 «διότι, καίτοι γ' ἀπορίας οὔσης περὶ τὴν ἐξήγησιν, ὅμως οἱ παλαιότατοι τῶν ἐξηγητῶν ἐν ταύταις ὁμολογοῦσιν».

Τόμ. ΙΖ', 6', σελ. 9 «ταῦτα ἠξιώσατέ με τὰ ὑπομνήμαθ' ὑμῖν ποιήσασθαι, καίτοι μὴ προῃρημένον». σελ. 26 «ἀλλ' ὅμως οἱ περὶ τὸν Σαβῖνον ἐπὶ τῶν ἀρχομένων ἀφροδισιάζειν τὸν λόγον αὐτῷ εἶναί φασι, καίτοι μνημονεύσαντος ὀνομαστὶ τοῦ Ἱπποκράτους ἑνὸς ἀνθρώπου τοῦ Δαμαγόρου». σελ. 47 «ὅτι μήτε Ἱπποκράτης ἔγραψε, καίτοι δυνάμενος κτέ». σελ. 90 «σαφῆ τ' εἶναι νομίζουσι, καίτοι διαφωνοῦντες ἐν ταῖς ἐξηγήσεσιν». σελ. 169 «ὅταν ᾖ τὸ περιέχον ψυχρὸν ὡς ἐν χειμῶνι, καίτοι διὰ τῆς ἡμέρας οὐ δεόμενος τούτων». σελ. 234 «ὃ παρορῶσιν οὐχ οἱ πολλοὶ μόνον ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ πλείονες, καίτοι καθ' ἑκάστην ἡμέραν γινόμενον» καὶ «ἐὰν γοῦν ἐθελήσῃ κάμψαι τι τῶν κώλων, αὐτίκα τοῦτο ποιεῖ, καίτοι μὴ γινῶσκον ἐκεῖνον τὸν μῦν, ὑφ' οὗ κάμπτεται». σελ. 291 «ἐπισκέψασθαι παρέλιπον οἱ ἐξηγηταί, καίτοι διαφορὰν ἐχούσας οὐ σμικράν» σελ. 357 «καίτοι δυνάμενος εἰπεῖν· ἣν μὲν ὅσα δεῖ καθαίρεσθαι καθαίρηται, κτέ.». σελ. 365 «μάθοιμεν δ' ἂν τοῦτο μάλιστα παρὰ τῆς ἀθλητικῆς εὐεξίας, ἧς, καίτοι τἆλλα κεκτημένης οὐ μεμπτά,— ὅμως τοῦτό γε αὐτὸ μέγιστόν ἐστι αὐτοῖς κακόν». σελ. 393 «ὅθεν εἰκότως καὶ ἡ τοῦ νοσήματος ὅλου λύσις εἰς τὴν λδ' ἐξετάθη, καίτοι τῶν τε πλευριτικῶν ὡς τὰ πολλὰ τὴν ιδ' ὅρον ἐχόντων τῆς κρίσεως». σελ. 406 «ἁπάσας γοῦν τὰς νόσους ὀνομάζουσι μεγάλας τε καὶ μικράς, καίτοι γε οὐκ οὔσας οὐσίας». σελ. 413 «ὥσπερ γὰρ αἱ λυχνιαῖαι φλόγες, καίτοι τροφὴν ἔχουσαι τοὔλαιον, ὅμως, ἐὰν ἀθρόως τις ἐπιχέῃ, σβέννυνται μᾶλλον ἢ τρέφονται». σελ. 470 «διακοπτομένων οὖν τῶν ὕπνων ὑπὸ τῆς ταραχῆς ἐναργῶς ἡ δυσφορία διαγινώσκεται, καίτοι τῆς ἡμέρας ὁμοίαν ἐχούσης ταραχήν». σελ. 490 «τοὺς γὰρ ἐφημέρους πυρετούς, καίτοι ταχέως παυομένους, οὐ καλοῦσιν ὀξέα νοσήματα». σελ. 511 «πλὴν ὅτι ταύτην ἑβδομάδα συνάπτει τῇ 6', καίτοι τὴν δευτέραν ἀποχωρίσας τῆς α'». σελ. 531 «ὁπότ' οὖν οὐ κατέσχεν ἡ ὥρα τὸ μέγεθος τῆς αἰτίας, καίτοι βοηθὸν ἔχουσα τὴν ὑγίειαν, ἤ πού γ' ἂν ἐν τῇ νόσῳ κι ήσειεν αὐτήν» καὶ «καθάπερ οὐδὲ τὸ βράγχους καὶ κορύζας τοῖς σι ἱδρα πρεσβυτέροις μὴ πεπαίνεσθαι, καίτοι γε οἰκεῖα παθήματα τῆς τι ν γερόντων ἡλικίας ὄντα». σελ. 542 «καὶ δι' αὐτό γε τοὐπίπαν

ἅπαντες οἱ μύες ἐπὶ τῶν ἀποπλήκτων ἐνεργοῦσιν οἱ κινοῦντες τὸν θώρακα, καίτοι πρόσθεν ὀλιγάκις ἐνεργοῦντες ἅπαντες». σελ. 579 «διὰ τί μήτ' ἐν αὐτῷ τῷ χειμῶνι μήτ' ἐν τῷ ἦρι κατὰ τὴν τοιαύτην κατάστασιν ἐπιδημεῖν φησι νοσήματα, καίτοι γε ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν κατ' αὐτὴν τὴν βεβλαμμένην ὥραν ἐν Κρανῶνι λέγων γενέσθαι τοὺς ἄνθρακας». σελ 628 «ἀλλὰ τάς γε μὴν τῶν ὤτων ὑγρότητας ἐν παθήμασι τίθεται, καίτοι τάς γε τῆς ὑπερῴας καὶ τῆς ῥινὸς οὐ τιθέμενος». σελ. 642 «ἐπιληψίαι δέ, καίτοι κακῶς διαιτωμένοις αὐτοῖς, ὅμως οὐ γίγνονται πολλαί». σελ. 688 «ἤτοι δυσίατος ἢ παντάπασιν ἀνίατός ἐστι, καίτοι διὰ παντὸς ἐπικείμενον αὐτῷ φάρμακον ἔχειν δυνάμενος». σελ. 792 «οὐ μὴν σαφῶς γέ τι λέλεκται, καίτοι δοκοῦν εἶναι σαφὲς τοῖς ἀμελέστερον ἀκούουσι». σελ. 810 «οὕτω δὲ καὶ τῶν ἑρπήτων τοῖς ἀναβιβρωσκομένοις, καίτοι ὑπὸ χολώδους καὶ θερμοῦ χυμοῦ γιγνομένοις». σελ. 824 «ἔνιοι δὲ ἐπὶ μόνων ἐκείνων, αἷς ἕπεται πάθος, ὃ προσαγορεύουσιν ὑστερικὴν πνῖγα, καίτοι γε οὐ πνῖγα κατ' ἀλήθειαν οὖσαν ἀλλ' ἄπνοιαν» σελ. 874 «καλῶς δ' εἶπεν ὑποχόνδρια μετέωρα, καίτοι δυνάμενος εἰπεῖν ἐμπεφυσημένα καὶ φυσώδη». Πρβ. καὶ σελ. 134.

Τόμ. ΙΗ', α', σελ. 41 «ἐν ᾧ μηδὲν ὅλως ἐνοχλοῦνται, καίτοι τῆς φυσικῆς ἀσθενείας διὰ παντὸς ὑπαρχούσης αὐτῇ». σελ. 98 «ἐν σχήματι λέξεως τὸ διηνεκὲς ἐνδεικνύμενον, καίτοι γε οὐκ ἀποβαινόντων ἀεὶ τῶν πραγμάτων ὡσαύτως». σελ. 166 «σῴζονται γοῦν ἔνιοι καὶ τῶν ὑδερικῶν, καίτοι τῆς τοιαύτης χώρας αὐτοῖς ὕδατος ἐμπλησθείσης». σελ. 247 «εὐδοκιμοῦσι παρὰ τοῖς πολλοῖς οἱ τολμηρότατοι, καθάπερ ὁ Θέσσαλος, ὧν (Helm. δι' ὧν) ἔγραψε λοιδορηθεὶς Ἱπποκράτει, καίτοι βιβλίον ἓν συνθείς, ἐν ᾧ, καθάπερ οἴεται, τοὺς ἀφορισμοὺς ἐξελέγχει». σελ. 269 «καίτοι θεασαμένου καὶ δείξαντος αὐτὰς τοῦ Θεσσάλου τῷ λαμπροτάτῳ χορῷ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅμως οὐδεὶς οὐδενὶ συνεφώνησε». σελ 309 «καίτοι δυνάμενός τι λέγειν, οὐκ ἐθέλω εἰπεῖν» (Πρβ. καὶ στίχ. 4). σελ. 387 «ὥσπερ γὰρ ἐν τῇ μασχάλῃ, καίτοι γε ὑποκειμένων νεύρων μεγίστων καὶ σὺν αὐτοῖς ἀρτηρίας καὶ φλεβὸς εὐρυτάτης, ὅμως ἐκέλευσε καίειν τὸ δέρμα» σελ. 414 «τροπικοῖς ὀνόμασι καὶ γλωσσηματικοῖς εἴωθεν ὁ Ἱπποκράτης ἐννοιῶν (Λοβ. ἐνίοτε) χρῆσθαι, καίτοι πολιτικὴν ἑρμηνεύων ἑρμηνείαν». σελ. 446 «ὥσπερ καὶ οἱ ἄλλοι μύες

οἱ καθ' ὅλον τὸ σῶμα, καίτοι τούτων ὄντες ἀκυρότεροι». σελ. 631 «ἐπὶ τῶν κατὰ φύσιν μυῶν οὐδὲν ἐκφύεσθαι τοῦ μηροῦ, καίτοι πολλῶν ὄντων». σελ. 654 «διὰ τί δὲ ταῦτα πέπαυται, καίτοι κατὰ τὴν αὐτὴν χώραν μενούσης τῆς κεφαλῆς τοῦ μηροῦ καὶ θλιβούσης τε καὶ τεινούσης ὁμοίως τὰ νεῦρα, διδάξει τε κτέ.». σελ. 695 «καλεῖ γὰρ οὕτως αὐτὸς ἐν τῷ περὶ ἑλκῶν αὐτά, καίτοι παρηγορικὰ τῶν φλεγμαινόντων ὄντα». σελ. 708 «νῦν γοῦν τὴν κνήμην ἐν τῇ πρὸς τῶν σφυρῶν διαρθρώσει φησὶν ἐξίσχειν ἐνίοτε, ποτὲ μὲν ἔξω τῆς διαρθρώσεως, ποτὲ δ' εἴσω, καίτοι κατὰ τὴν ἑξῆς ῥῆσιν οὐ τὴν κνήμην ἀλλὰ τὸν μηρὸν ἐξίσχειν λέγων εἰκότως». Πρβ. καὶ σελ. 139.

Τόμ. ΙΗ',β', σελ. 1 «ἐδέησε δ' αὐτῷ τοῦ προοιμίου κατὰ τοῦτο τὸ σύγγραμμα, καίτοι γε οὐ πάνυ τι προοιμίοις χρωμένῳ». σελ. 12 «ὁ δὲ κἀνταῦθα τὸ δοκέει μοι προσέθηκε, καίτοι μέλλων ἀποδείξεις γράφειν τῆς ἀποφάσεως». σελ. 14 «οὐ μὴν ὀνομάζουσί γε προδόξασιν οἱ Ἕλληνες, ὥσπερ οὐδ' οἱ περὶ τὸν Ἡρόφιλον αὐτοί, καίτοι πλεῖστα βαρβαρίζοντες». σελ. 15 «ἐσκώπτετο συνεχῶς ὑπὸ τοῦ παρὰ τῷ Πλάτωνι Σωκράτους, καίτοι γε τἆλλα ἐπαινούμενος». σελ. 21 «ἐν μέντοι τῷ προγνωστικῷ τῷδε παρέλιπε, καίτοι ταύτης τῆς θεωρίας ὄντα». σελ. 172 «τὸν δ' ἕτερον, οὐ κἀν τοῖς ἀφορισμοῖς ἐμνημόνευσε, παραλελεῖφθαι, καίτοι μεγίστην ἔχοντα δύναμιν». σελ. 204 «οἱ μὲν οὖν δάκτυλοι, καίτοι καταψυχόμενοι τοὐπίπαν ἐπὶ τῶν χρονίως νοσούντων, ὅμως ἐν πᾶσι τοῖς ἐκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν» σελ. 305 «ὁπόση δ' ἐστὶ καὶ τούτων αὐτῶν ἡ χρεία, καίτοι δοκούντων ἐν τοῖς καθόλου περιέχεσθαι, λεχθήσεται κατὰ τὰ τῶν ἐπιδημιῶν ὑπομνήματα». σελ 469 «καὶ θαυμάζω πῶς οὐκ ἀρκεῖται ταύτῃ μόνῃ, καίτοι γιγνώσκων τε καὶ χρώμενος ἐπὶ τῶν τοιούτων αὐτῇ». σελ. 504 «ἀλλὰ καίτοι τούτων ἀσφαλῶς παρασκευαζομένων τοῖς ἰατροῖς, ὅμως ἡ κατὰ τὰς διαρθρώσεις κίνησις οὐ κωλύεται». σελ. 653 «τοῖς τοῦτον τὸν τρόπον ἐξηγουμένοις ἐναντιοῦσθαι δοκεῖ τὸ παραλελεῖφθαι τὴν ὄσφρησιν τοῦ ἰατροῦ, καίτοι χρωμένου αὐτοῦ πρὸς πολλά». σελ. 717 «ἀναμνησθῶμεν δὲ καὶ ὅτι τὰς χεῖρας ὁμοίας εἶπε, καίτοι ἀπαραλλάκτους οὔσας τῷ εἴδει». σελ. 730 «ἐπὶ μέντοι τῶν πλείστων οὐδὲ καλῶς νοήσαντες ἐτόλμησαν μεταγράψαι, διὰ τοῦτο νῦν αὐτῶν ἐμνημόνευσα, καίτοι μυρία τῶν ἔμπροσθεν ἄχρι τοῦ δεῦρο μεταγεγραφότων οὐ μνημονεύσας». σελ. 915 «ὁ δὲ Ἱπποκράτης οὐκ ἐμνη-

μόνευσεν ὅλως ἐν τούτῳ τῷ βιβλίῳ φαρμάκου, καίτοι μνημονεύσας ἐνίων παθῶν». Πρβ. καὶ σελ. 340 καὶ σελ. 1088, 8.

Τόμ. ΙΘ', σελ. 3 «πλὴν οὐκ ἐδεῖτο λιπαρῶς βοηθῆσαι αὐτῷ, καίτοι φοβερώτατος ἔμπροσθεν ὤν». σελ. 13 «βάσκανος δὲ καὶ φιλόνικος ἱκανῶς ἦν ὁ ἀνὴρ οὗτος, καίτοι πλείω γεγονὼς ἐτῶν ο'». σελ. 60 «ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω, καίτοι οὐκ ὄντα πάρεργα».

ΚΕΦ. ΙΖ'.

Ἀνδρίον - ἀνδρεῖον καὶ ἀνδρίοις - ἀνδρείοις.

Παρὰ τῷ Προκοπίῳ Τόμ. Β', σελ. 409, 1 Βόνν. ἀπαντᾷ «ἔτι μᾶλλον ἠρέθιζέ τε καὶ λόγων ἐνέδραις τὸν ἄνθρωπον καταλαβὼν ἐκάκιζεν, οὔτε νύκτα οὔτε ἡμέραν τινὰ ἀνιείς, ἀνδρεῖόν τε καὶ ἀνδρόγυνον ἀπὸ καιροῦ γεγονότα ὠνείδιζεν» καὶ Τόμ. Γ', σελ. 59, 25 «τέως μὲν οὖν ἄωρος οὖσα ἡ Θεοδώρα ἐς κοίτην ἀνδρὶ ξυνιέναι οὐδαμῇ εἶχεν οὐδὲ οἷα γυνὴ μίγνυσθαι· ἡ δὲ τοῖς κακοδαιμονοῦσιν ἀνδρείοις τινὰ μισητίαν ἀνεμίσγετο (γρ. ἐμίσγετο), καὶ ταῦτα δούλοις, ὅσοι τοῖς κεκτημένοις ἑπόμενοι ἐς τὸ θέατρον πάρεργον τῆς οὔσης αὐτοῖς εὐκαιρίας τὸν ὄλεθρον τοῦτον εἰργάζοντο».

Γελοιότατα μὲν συνάπτονται τὰ ἐναντίαν ἔννοιαν ἐμφαίνοντα ὀνόματα ἀνδρεῖον καὶ ἀνδρόγυνον, τουτέστιν ἀνδρεῖον καὶ γύννιν ἤτοι θηλυδρίαν, γελοιότατα δὲ λέγεται «τοῖς κακοδαιμονοῦσιν ἀνδρείοις —— καὶ ταῦτα δούλοις». Ἐν τῷ πρώτῳ χωρίῳ φέρεται καὶ γραφὴ ἄνανδρον, ἣν ὑπέλαβέ τις πρόσφορον πρὸς ἐπανόρθωσιν τοῦ κακῶς ἔχοντος. Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι τοῦ ἐκ τοῦ ὀνόματος ἀνήρ παρηγμένου ὑποκοριστικοῦ χρῆσιν ὁ Προκόπιος ποιησάμενος εἶπεν «ἀνδρίον τε καὶ ἀνδρόγυνον ἀπὸ καιροῦ γεγονότα» καὶ «τοῖς κακοδαιμονοῦσιν ἀνδρίοις».

Ὀλίγα δὲ μαρτύρια τοῦ ὑποκοριστικοῦ ἀνδρίον ἔχομεν· ἓν μὲν ἐκ τοῦ Θεοκρίτου, ἓν δ' ἐκ τοῦ Ἀριστοφάνους, ἓν δ' ἐκ τοῦ Εὐπόλιδος. Ἐλέχθη δ' ὑπὸ μὲν τοῦ Θεοκρίτου Εἰδυλλ. Ε', 40 «ὢ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως» (Σχολ. «Ἀνδρίον: ἀνδρ[illegible]-

ριον ὑποκοριστικῶς, ἀνθρωπάριον δυσγενὲς καὶ ἀνελεύθερον»), ὑπὸ δὲ τοῦ Ἀριστοφάνους Εἰρ. 50 «ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσι καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω»· τὸ δὲ χωρίον τοῦ Εὐπόλιδος μνημονεύεται ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1680, 27 λέγοντος «Ἀττικοὶ δὲ ἅπαντες τὸ ἴσθι καὶ ἐπὶ τοῦ ὕπαρχε τάττουσιν. Εὔπολις· μὴ τρηχὺς ἴσθι· καί· ὦ δαιμόνι' ἀνδρῶν, μὴ φθονερὸν ἴσθ' ἀνδρίον», ἤγουν μὴ φθονερὸς ἔσο ἄνθρωπος. Καὶ ὅρα τὸ ἀνδρίον ὑποκοριστικῶς γενόμενον ἐκ τοῦ ἀνδρὸς κατὰ τὸ χρυσός χρυσίον καὶ χαλκός χαλκίον παρὰ τῷ κωμικῷ καὶ φανός φανίον· κοινότερον δὲ τοῦ ἀνδρίον τὸ ἀνδράριον». Περὶ τῆς Ἰωνικῆς ἐκφορᾶς τρηχύς ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τόμ. Α', σελ. 343).

Ὁμοίως τῷ ἀνήρ-ἀνδρίον-ἀνδράριον εἶνε ἐσχηματισμένα τὸ παῖς-παιδίον-παιδάριον καὶ πῶλος-πωλίον-πωλάριον καὶ βῶλος-βωλίον-βωλάριον καὶ μόσχος-μοσχίον-μοσχάριον καὶ οὖς-ὠτίον-ὠτάριον καὶ κλών-κλωνίον-κλωνάριον καὶ δέλτος-δελτίον-δελτάριον καὶ σμίλη-σμιλίον-σμιλάριον καὶ χάρτης-χαρτίον-χαρτάριον, κτλ. Πρβ. καὶ ἄνθρωπος-ἀνθρώπιον-ἀνθρωπάριον καὶ λέβης-λεβήτιον-λεβητάριον· ἔτι δὲ γυνή-γύναιον-γυναικάριον. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1686, 52 «Ἀθήναιος δὲ ὁ ταῦτα παραδοὺς καὶ φάριον οἶδε διὰ τεσσάρων, ἤγουν τετρασυλλάβως, ὡς καὶ σταμνάριον καὶ σταμνίον, ἐξ οὗ καὶ Ζεὺς παρὰ τῷ κωμικῷ στάμνιος, παίζοντι τὰ συνήθη, ἔνθα σταμνίου Διὸς υἱὸν λέγει τὸν Διόνυσον». Παρατηρητέον ἐν παρόδῳ ὅτι Ζεὺς στάμνιος μνημονεύεται καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 353, 25 Διδ. «ὅτι δὲ ἀπὸ τῆς στάμνου ἢ τοῦ στάμνου καὶ Ζεὺς λέγεται στάμνιος δηλώσει που καὶ ὁ κωμικός», ἀλλ' ὀρθῶς λέγεται σελ. 275, 6 «υἱὸς Σταμνίου: Δέον εἰπεῖν υἱὸς Διός, Σταμνίου εἶπε παρ' ὑπόνοιαν, ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. Ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται —— Ἄλλως. Ἔπαιξεν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον, ὥσπερ παῖδα, καὶ τρέφει».

Ὡς δὲ λέγεται φθονερὸν ἀνδρίον, οὕτω καὶ πονηρὸν ἀνθρώπιον καὶ μιαρὸν ἀνθρώπιον καὶ πονηρὰ ἢ μοχθηρὰ ἀνθρώ-

πια. Θεμίστ. Λόγ. σελ. 320,5 Δινδ. «ὅτι πονηρὸν ἀνθρώπιον ἦν». Λουκιαν. Τίμ. 53 «ἐν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας» καὶ Κατάπλ. 12 «ὦ μιαρὸν ἀνθρώπιον, πληγάς μοι πολλάκις οὐδὲν ἀδικοῦντι ἐνέτεινας». Ξενοφ. Ἀπομν. Β', γ', 16 «τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ εἰ δοίης τι» καὶ Κύρ. Παιδ. Ε', α', 14 «τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι, τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι» (Ἴδ. Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῆς Ἀριστοφάνους Εἰρήνης σελ. 163). Παρατηρητέον δ' ὅτι εἶνε ὑπὸ τοῦ Ἀριστοφάνους εἰρημένον ἐν μὲν τοῖς Ἀχαρνεῦσι στίχ. 517 «ἀλλ' ἀνδράρια μοχθηρά, παρακεκομμένα, ἄτιμα καὶ παράσημα καὶ παράξενα», ἐν δὲ τῷ Πλούτῳ στίχ. 415 «ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε, ποῖ ποῖ, τί φεύγετ'; οὐ μενεῖτον;».

Διὰ τῶν ὑποκοριστικῶν καταλήξεων, πολλῶν οὐσῶν, δηλοῦται ἡ ἔννοια τοῦ μικρός-μικρά-μικρόν. Γίνεται δ' ὁ ὑποκορισμὸς καὶ χάριν κολακείας ἢ θωπείας, οἷον πατρίδιον, παππίδιον, ἀπφίδιον, μαννάριον, ὃ ὁ Κόβητος μετέβαλεν εἰς τὸ μαμμάριον, ἀδελφίδιον, δεσποτίσκος (Εὐρ. Κύκλ. 267 «ὦ κάλλιστον ὦ Κυκλώπιον, ὦ δεσποτίσκε;»), κτλ. καὶ Δημίδιον (Ἀριστοφ. Ἱππ. 726 «ἔξελθε δῆτ', ὦ Δημίδιον, ὦ φίλτατον, ἔξελθ', ἵν' εἰδῇς οἷα περιϋβρίζομαι») Εὐριπίδιον, Σωκρατίδιον, Φειδιππίδιον, Πολυδεύκιον (Λουκιαν. Νεκρ. Διαλ. Α', 3 «τοῖς πλουσίοις δ', ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ' ἡμῶν»), κτλ. Πολλάκις δὲ ὁ ὑποκορισμὸς εἶνε δηλωτικὸς χλευασμοῦ ἢ ἐξευτελισμοῦ ἢ καταφρονήσεως, οἷον ἑταιρίδιον, πορνίδιον, ῥηματίσκιον, μυθάριον, κυθρίδιον (Κλήμ. Ἀλεξ. Τόμ. Α', σελ. 215, 5 Δινδ), κτλ. Ὑπὸ τοῦ Δημοσθένους ἐρρήθη σελ. 314, 261 «ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις» καὶ ὑπὸ τοῦ Λουκιανοῦ περὶ Παρασ. 42 «ἀλλ' ἐντειχίδιοι ἐκάθηντο παρ' αὐτοῖς ἤδη πολιορκούμενοι, γνωμίδια καὶ προβουλευμάτια συντιθέντες» καὶ ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως Τόμ. Β', σελ. 18, 22 «ζητήσεις ἐριστικὰς ἐκπορίζοντες λεξειδίων (λεξιδίων) θηράτορες (θηρητῆρες), ζηλωταὶ τεχνυδρίων, ἐριδαντέες καὶ ἱμαντελικτέες» (περὶ οὗ ἴδε Κόβητον ἐν τῷ Λογίῳ Ἑρμῇ 1867, σελ. 207 κέ.) καὶ σελ. 41, 1 «οὐχὶ συνθεῖναι τὰ λεξείδια (λεξίδια) καθ·

ἅπερ τὰ κόσμια », ἐν δὲ τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 347, ς' φέρεται « λέγεται δὲ καὶ Μενάνδρῳ τῶν συνήθων τις εἰπεῖν· ἐγγὺς οὖν, Μένανδρε, τὰ Διονύσια, καὶ σὺ τὴν κωμῳδίαν οὐ πεποίηκας; τὸν δ' ἀποκρίνασθαι: νὴ τοὺς θεοὺς ἔγωγε πεποίηκα τὴν κωμῳδίαν· ᾠκονόμηται γὰρ ἡ διάθεσις, δεῖ δ' αὐτῇ τὰ στιχίδια ἐπᾷσαι ». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 339 « Themist. p. 307 — μηκέτι θαυμάζειν τε καὶ πιστεύειν ὡς ἄρα ὁ ΔΙΟΣ Ἑρμῆς καταλιπὼν τὸν Δία τε καὶ τὸν οὐρανὸν σαρκία μικρὰ περιθέμενος ἐν τῇ πόλει ἡμῖν περινοστεῖ, legendum; ὁ ΛΟΓΙΟΣ Ἑρμῆς —— Stoico et Cynico fastidio in tali re σαρκία nominari solent, ut σωμάτιον et ψυχάριον et quidquid habent isti despicatui. Itaque emendandum pag. 232. — ὅπως ἄν τις χαμαὶ βαδίζων καὶ CAPKIA ἠμφιεσμένος κτέ. pro σάρκα. Emendate scriptum est in Synesii *Dione* pag. 23 Reisk. ἀπαθεῖς εἶναι ποιούμενοι, θεοὶ σαρκία περικείμενοι, nisi quod pro ποιούμενοι corrigendum προσποιούμενοι » καὶ ἐν ταῖς εἰς Διονύσιον τὸν Ἁλικαρνασσέα Παρατηρήσεσι σελ. 59 « Pag. 424. πότερον οἴεσθε δεῖν περὶ βοϊδίων καὶ προβάτων ἁρπαγῆς ἄσπειστον πόλεμον φυλάττειν; Scribendum προβατίων. Contemptim enim loquitur *ob raptas buculas et oviculas*. Natura ipsa docet in tali re τὰ ὑποκοριστικὰ geminare, ut παιδάρια καὶ γύναια, non γυναῖκες. Sensit Reiskius qui προβατιδίων coniecit, sed usitata forma est προβάτιον, ut in *Vesp*. 955. οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι. et alibi passim ». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Ναβήρου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1878, σελ. 244 « Lepidum est quod legitur (Alciphr.) 1. 33. 3. de meretricula, quae φανερῶς ποιήματα ᾖδεν εἰς τὸν οὐκέθ' ἡμῖν προσέχοντα ἐραστήν. Sapphus fuerunt ποιήματα, at illa ποιημάτια cantabat, nam sic deminutiva vocabula usurpantur ad contemptum significandum, veluti apud Isocratem c. Sophist. 4: λέγουσι μὲν ὡς οὐδὲν δέονται χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν πλοῦτον ἀποκαλοῦντες. Amat Alciphron eiusmodi vocabula; sic habemus 1. 36. 2: κτημάτιον, μισθωμάτιον et θεραπαινίδιον, quocirca reponam itidem 1. 37. 2: γραμματίδια μὲν οὖν καὶ θεραπαινιδίων διαδρομαί pro θεραπαινίδων —— Quod legitur apud Dionysium Halicarnassen-

sem VII. 69: ἀνὴρ Ῥωμαῖος οὐκ ἀφανὴς θεράποντα ἴδιον ἐπὶ τιμωρίᾳ θανάτου παραδιδοὺς τοῖς ὁμοδούλοις ἄγειν, quia prorsus otiosum est adiectivum ἴδιον, conicio veram Dionysii manum esse θεραποντίδιον vel, si id forte mavis, θεραπόντιον, quo modo Romani *servulum* appellant». Πολλὰ τοιαῦτα ὑποκοριστικὰ ἀπαντῶσιν ἐν ταῖς Διατριβαῖς τοῦ Ἐπικτήτου, οἷον σαρκίδιον, ἀγρίδιον, λογάριον, δειπνάριον, ἀξιωμάτιον, ζητημάτιον, γυμνασίδιον, σοφισμάτιον, δουλάριον, δοξάριον, ψυχάριον, κτλ. Ὁ Κοραης σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Ἐπικτήτου Διατριβῶν σελ. 336 «περὶ ἀγριδίου πραγμάτιον ἔχων: Ὑποκοριστικῶς, ἀντὶ τοῦ, περὶ ἀγροῦ πρᾶγμα ἔχων, κατ' ἔθος στωικὸν τοῦ ἐκφαυλίζειν πάντα τὰ ἐκτὸς καὶ οὐκ ἐφ' ἡμῖν».

Ἐκ τῆς Ῥωμαϊκῆς γλώσσης μνημονεύομεν τὸ γνωστότατον *Graeculus*. Ἄξια δὲ παραθέσεως νομίζομεν τὰ παρὰ Δίωνι τῷ Κασσίῳ κείμενα βιβλ. ΜϚ', 18 «ταῦθ' οὕτως, ὦ Κικέρων ἢ Κικέρουλε ἢ Κικεράκιε ἢ Κικερίσκε ἢ Γραίκουλε ἢ ὅ,τι ποτὲ καὶ χαίρεις ὀνομαζόμενος». Ἔγραψε δὲ Κικερίσκε ἀντὶ τοῦ Κικέριθε ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 204.

Εἴπομεν ἐν τοῖς ἄνω ὅτι μετέβαλεν ὁ Κόβητος τὸ μαννάριον εἰς τὸ μαμμάριον. Ἐν τοῖς Ἑταιρικοῖς Διαλόγοις τοῦ Λουκιανοῦ Ϛ', 1 ἡ παραδεδομένη γραφὴ εἶνε «ναί, μαννάριον· ἐχέτω δὲ καὶ ψήφους τινὰς πυραυγεῖς». Ἀποφαίνεται δ' ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 204 «In Dialogo 6. § 1. μαννάριον in μαμμάριον corrigatur (Sic et Dial. 7. § 4)». Τὴν ἀνάγνωσιν τοῦ Κοβήτου ἐγκρίνας ὁ Γ. Δινδόρφιος ἐν τῇ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Γ', σελ. 139 ἔγραψε σελ. ζ' «LXVII, 6, 1. et 7, 4. μαμμάριον Cobetus p. 204. Legebatur μαννάριον, quod librarius posuit medii aevi Graecitati adsuetus. Nam Graeci recentiores matrem μάνναν dicunt: v. Coraës ad Heliodor. vol. 2. p. 233».

ΚΕΦ. ΙΗ'.

Μισητίαν - ἐμίσγετο - μισητίΑΝ - ΑΝεμίσγετο.

Ἐν τοῖς Ἀνεκδότοις τοῦ Προκοπίου, ἃ ὑπολαμβάνονται ὑπό τινων οὐχὶ γνήσιον τοῦ Προκοπίου σύγγραμμα, φέρεται (Προκοπ. Τόμ. Γ', σελ. 59, 22) «τέως μὲν οὖν ἄωρος οὖσα ἡ Θεοδώρα ἐς κοίτην ἀνδρὶ ξυνιέναι οὐδαμῇ εἶχεν οἷα γυνὴ μίγνυσθαι· ἡ δὲ τοῖς κακοδαιμονοῦσιν ἀνδρείοις (γρ. ἀνδρίοις) τινὰ μισητίΑΝ ἈΝεμίσγετο, καὶ ταῦτα δούλοις κτέ.».

Ἐπειδὴ ὁ λόγος εἶνε οὐχὶ περὶ ἀναμίξεως ἀλλὰ περὶ μίξεως, ἐξαλείφοντες τὴν ἐκ διττογραφίας προσφῦσαν τῷ ῥήματι πρόθεσιν ἀναγινώσκομεν «ἡ δὲ τοῖς κακοδαιμονοῦσιν ἀνδρίοις τινὰ μισητίαν ἐμίσγετο». Κακῶς δ' εἶνε γεγραμμένον καὶ παρὰ τῷ Παλαιφάτῳ Β' (Μυθογρ. Οὐεστερμ. σελ. 271, 15) «ταῦρος δὲ οὐ δοκεῖ μοι βοὶ ξυλίνῃ ἈΝαμιχθῆναι», ἀνθ' οὗ ἀναγνωστέον «ταῦρος δὲ οὐ δοκεῖ μοι βοὶ ξυλίνῃ ἊΝ μιχθῆναι». Διάφορον προφανῶς ὑπάρχει τὸ παρὰ Ξενοφῶντι τῷ Ἐφεσίῳ ἁπαντῶν Α', 9 «καὶ συμφύντες ἀλλήλοις ἀναμιγῶμεν». Ὡς δ' ἀνεγνώσθη κακῶς ἀναμιχθῆναι ἀντὶ τοῦ ἂν μιχθῆναι, οὕτω καὶ ἀνατρέψαντος ἀντὶ τοῦ ἂν τρέψαντος, καθὰ παρετηρήθη ὑπὸ τοῦ Κοβήτου ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 134 λέγοντος «Liban. I. 616. 12. ἡ τελευτὴ τοῦ ταῦτα (ἂν) ἀνατρέψαντος εἰς τοὺς πολεμίους. Reiske ἂν de suo addidit. Melius erat unam literulam delere et sic scribere: τοῦ ταῦτ' ἊΝ Τρέψαντος». Σημειωτέον δ' ὅτι ἐν τῷ Κρίτωνι τοῦ Πλάτωνος σελ. 53, Γ' φέρεται διττὴ γραφὴ «οὐκ οἴει ἄσχημον ἂν φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα;» καὶ «οὐκ οἴει ἄσχημον φανεῖσθαι». Καὶ ὁ μὲν Ἱρσχίγιος ἀνέγνω «ἄσχημον ἈΝΑφανεῖσθαι», ὁ δὲ Σχάνζιος ἐγκρίνας τὴν γραφὴν «ἄσχημον ἂν φανεῖσθαι» ἐσημειώσατο Τόμ. Α', σελ. 83 «ἂν φανεῖσθαι BCD: φανεῖσθαι E Eusebius, probavit Baiter, ἀναφανεῖσθαι Hirschig». Τὸ ἂν φανεῖσθαι εἶνε σόλοικον· συμφωνοῦμεν δὲ τῷ Κοβήτῳ λέγοντι ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 248 «Quid scripsit Plato in *Critone* pro: οὐκ οἴει ἄσχημον ἊΝ φανεῖσθαι τὸ πρᾶγμα? Nempe quod est in aliis libris ἄσχημον φανεῖσθαι. Ἀναφαίνεσθαι enim, de quo quis forte cogitaverit, in

hunc locum non quadrat». Οὐκ ἀγνοητέον δ' ὅτι ὁ Σχάνζιος ἐν νεωτέρᾳ ἐκδόσει τοῦ Κρίτωνος (Plat Crit. in Schol. usum) σελ. 18 ἀποδεξάμενος τὴν γραφὴν «οὐκ οἴει ἄσχημον φανεῖσθαι» γράφει «φανεῖσθαι T, Eusebius, cf. Cobet Mnemos.[2] II 246: ἂν φανεῖσθαι B, ἀναφανεῖσθαι Burges, ὂν φανεῖσθαι G. H. Müller Fleckeis. Jahrb. CXXXII (1886) 92». Πρβ. καὶ Saml. ausgew. Dial. Plat. Μέρ. Β', σελ. 64 «ἄσχημον. In B folgt ἂν auf ἄσχημον. Allein ἂν mit dem Futurum ist in der klassischen Zeit unmöglich Die wenigen dagegen sprechenden Stellen, welche bei Plato vorkommen, sind zu verbessern. Da in T ἂν fehlt, so ist für die Quelle von B und T das ἂν nicht sicher und wahrscheinlich in B aus der vorhergehenden Silbe ον entstanden».

Τοῦ ὀνόματος μισητία ποιεῖται χρῆσιν ὁ Προκόπιος καὶ ἐν ἄλλοις τόποις Τόμ. Γ', σελ. 61,11 «ξυνεδυάζετο μὲν τούτων ἑκάστῳ, κόρον δὲ οὐδὲ ὧς ταύτης μὲν τῆς μισητίας ἐλάμβανε» καὶ σελ. 199 15 «ὅμιλος ἦν ἐπὶ Βυζαντίου γυναίων ἐν μαστροπείῳ λελαγνευμένων οὐχ ἑκούσιον ἀλλὰ βιαίαν τινὰ μισητίαν». Δεινὴν καταδρομὴν τῆς Θεοδώρας ποιεῖται ὁ Προκόπιος ἄλλα τε πολλὰ περὶ αὐτῆς διηγούμενος καὶ δὴ καὶ τάδε σελ. 62, 13 «ἦν γὰρ οὐκ ἀναίσχυντος μόνον ἀλλὰ καὶ ἀναισχυντοποιὸς πάντων μάλιστα. Πολλάκις δὲ καὶ ἀποδυσαμένη ξὺν τοῖς μίμοις ἐν μέσῳ εἱστήκει λορδουμένη τε καὶ τὰ ὀπίσω ἀποκοντῶσα τοῖς τε διάπειραν αὐτῇ ἔχουσι καὶ τοῖς οὔπω πεπλησιακόσι τὰ ἐκ παλαίστρας τῆς αὐτῇ εἰωθυίας βρενθυομένη. Οὕτω δὲ ἀκολάστως εἰς τὸ σῶμα τὸ αὐτῆς ὕβριζεν, ὥστε τὴν αἰδῶ οὐκ ἐν τῇ τῆς φύσεως χώρᾳ κατὰ ταὐτὰ ταῖς ἄλλαις γυναιξὶν ἀλλὰ ἐν τῷ προσώπῳ ἔχειν ἐδόκει. Οἱ μὲν οὖν αὐτῇ πλησιάζοντες ἔνδηλοι εὐθὺς ἀπ' αὐτοῦ ἦσαν, ὅτι δὴ οὐ κατὰ νόμον τῆς φύσεως τὰς μίξεις ποιοῦνται». Πρβ. καὶ σελ. 63, 10 «διὸ δὴ αὐτῇ ἀπορεῖσθαι τῶν ἀναγκαίων ξυνέπεσεν, ἅπερ τὸ λοιπὸν ἐπορίζετο τὴν ἐς σῶμα παρανομίαν, ἥπερ εἴθιστο, ἐργαζομένη». Παρατηρητέον δ' ὅτι καὶ παρὰ τῷ Σουΐδᾳ σελ. 668 Βεκκ. φέρεται «καὶ τὰ ὀπίσω ἀποκοντῶσα· οἷον κεκαμμένη». Ἀλλ' ἐπειδὴ τὸ ῥῆμα εἶνε ἀποκοντοῦν, οὐχὶ ἀποκοντᾶν, γραπτέον «καὶ τὰ ὀπίσω ἀποκοντοῦσα». Πρβ. καὶ Τούπιον ἐν *Emendat.* Τόμ. Α', σελ. 390.

Τὸ ὄνομα μισητία ἀπαντᾷ παρὰ τῷ Ἀριστοφάνει Ὄρν. 1618 «ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν εὐξάμενος εἶτα διασοφίζηται λέγων, μενετοὶ θεοί, καὶ μἀποδιδῷ μισητίᾳ, ἀναπράξομεν καὶ ταῦτα» καὶ Πλ. 990 «καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας αἰτεῖν μ' ἔφασκεν». Λέγεται δ' ἐν τοῖς Σχολίοις σελ. 245,48 Διδ. «μισητίαν δὲ οἱ μὲν περὶ Ἀριστοφάνη τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν· καὶ τὸ περὶ σφυρὸν παχεῖα μισητὴ γυνὴ οὕτως ἐξηγοῦνται. Μήποτε μέντοι γενικώτερόν ἐστιν ἀπληστία, ὃ καὶ νῦν ἐμφαίνεται» καὶ σελ. 375, 20 «καὶ ἐν τούτοις μισητίαν φησὶ τὸ εἰς τὰς συνουσίας εὐεπίφορον. Οὐχ ἕνεκα, φησί, τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ». Πρβ. καὶ Σουίδαν σελ. 719 Βεκκ., ἔνθα εἶνε κακῶς γεγραμμένον καὶ «μισητίαν τὸ εἰς τὰς συνουσίας ἐπίφορον» ἀντὶ τοῦ τὸ —— ἐπίφορον. Ἐν τῷ ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. ϛ', 189 κεῖται «καὶ μισητὸν μέντοι τὸν τοιοῦτον οἱ κωμικοὶ καλοῦσι καὶ μισητὴν τὴν μάχλον· ταύτην δὲ οὐχ ἑταίραν μόνον ἀλλὰ καὶ πόρνην καὶ χαμαιτύπην καὶ ἀσελγῆ καὶ ἀκόλαστον καὶ ῥᾳδίαν καὶ εὐχερῆ καὶ πρόχειρον καὶ μοιχεύτριαν· τὸ δὲ πρᾶγμα λαγνείαν, ἀσέλγειαν, ἀκολασίαν, εὐχέρειαν, ῥᾳστώνην, μαχλοσύνην, ἑταίρησιν, πορνείαν, μισητίαν». Ὁ δ' Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1650,63 «Αὐτὸ δέ γε τὸ μισεῖν κοινότερον ἐπὶ τοῦ ἐχθραίνειν τεθὲν ἡ κωμικὴ σεμνότης ἐπὶ μίξεων ἔθετο ἀσέμνων. Ἀριστοφάνης γοῦν μισητέαν (γρ. μισητίαν) ἐπὶ κατωφερείας ἔφη ἤγουν ῥοπῆς ἀσχέτου τῆς περὶ μίξεις. Ἄλλοι δὲ μισήτην βαρυτόνως πρὸς διαστολὴν τῆς ὀξυτονουμένης τὴν κοινὴν καὶ ῥᾳδίαν, λέγοντες καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ καὶ Σώφρονι· χρᾶται δὲ αὐτῇ καὶ παροιμία ἐν τῷ περὶ σφυρὸν παχεῖα μισήτη γυνή». Τὸ παροξύτονον θηλυκὸν μισήτη μνημονεύει καὶ ὁ Ἀμμώνιος ποιούμενος λόγον περὶ τῆς διαφορᾶς αὐτοῦ πρὸς τὸ ὀξύτονον μισητή σελ. 94 Βαλκ. «Μισητή καὶ μισήτη διαφέρει παρὰ τοῖς Ἀττικοῖς, ὥς φησι Τρύφων ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας· ἐὰν μὲν γὰρ ὀξυτονήσωμεν, σημαίνει τὴν ἀξίαν μίσους, καθὰ καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ προφερόμεθα· ἐὰν δὲ βαρυτονήσωμεν, τὴν καταφερῆ πρὸς συνουσίαν. Τὴν δὲ διαφορὰν τῶν σημαινομένων καὶ παρὰ Δωριεῦσί φασι (φησι) φυλάττεσθαι καὶ παρ' Ἴωσι». Πρβ. καὶ Θωμ. Μάγ. σελ. 240,11 Ῥισχ. «Μισητή: ἡ μίσους ἀξία γυνή, μισήτη δὲ βαρυτόνως ἡ καταφερής». Ἀνεγνώσθη δὲ καὶ παρὰ

τῷ Ἡσυχίῳ Τόμ. Γ', σελ. 112 Σμιδ. «Μισήτην: τὴν καταφερῆ λέγουσι μισήτην· μίσηται δὲ γυναῖκες ὀλίσβοισι χρήσονται» (Ἴδε Βαλκενάριον ἐν ταῖς εἰς Ἀμμώνιον Παρατηρήσεσι σελ. 115 κέ. καὶ Βεκχῆρον ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους Τόμ. Ε', σελ. 276 κέ. καὶ Μεινέκιον ἐν τῇ Συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἑλλήν. Κωμικῶν Τόμ. Β', σελ. 203 καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους Πλούτου σελ. 337 καὶ ἐν τῇ τῶν Ὀρνίθων σελ. 437. Πρβ. καὶ Μειττῆρον εἰς Μιμιάμβ. Ἡρῴδ. σελ. 71). Ὁ Κόκκιος ἐν τῇ Συλλογῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τόμ Α', σελ. 105, 316 ἐξέδωκε «μισηταὶ δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται», ἐσημειώσατο δὲ περὶ τῆς ὑπὸ παλαιῶν ὁριζομένης διαφορᾶς τοῦ μισητή καὶ μισήτη «sed ea differentia ab Herodiano non accepta videtur. Lentz. I 342, 27 adn.». Πρβ. καὶ Λοβέκκιον ἐν Παραλειπομ. σελ. 494.

Δύναται δὲ κάλλιστα τὸ ὑπὸ τοῦ Προκοπίου εἰρημένον μισητίαν ἐμίσγετο νὰ ἐκληφθῇ ἀντὶ τοῦ βδελυρὰν ἢ ἀθεσμον μῖξιν ἐμίσγετο. Πρβ. Σουίδ. σελ. 890 Βεκκ. «πρότερον γὰρ αἱ τῆς χώρας ἐκείνης γυναῖκες θηριώδη μῖξιν ἐμίγνυντο».

Ὡς δ' ἀνεγνώσθη πλημμελῶς μισητίΑΝ ἈΝεμίσγετο ἀντὶ τοῦ μισητίαν ἐμίσγετο, οὕτω καὶ ἀποδημίΑΝ ἈΝεστείλατο ἀντὶ τοῦ ἀποδημίαν ἐστείλατο καὶ ἀπληστίΑΝ ἈΝεμπλῆσαι ἀντὶ τοῦ ἀπλησίαν ἐμπλῆσαι κτλ.

Παρὰ τῷ Θεοδωρήτῳ Τόμ. Γ', σελ. 1177 ἀπαντᾷ «φασὶ δὲ Ἀνθέμιον, ὅς καὶ ὕπαρχος ἐς ὕστερον ἐγεγόνει καὶ ὕπατος, ἡνίκα πρεσβευτὴς χειροτονηθεὶς τὴν εἰς Πέρσας ἀποδημίΑΝ ἈΝεστείλατο, χιτῶνα αὐτῷ κομίσαι παρὰ Πέρσαις ὑφασμένον» καὶ Τόμ. Δ', σελ. 197 «καὶ ταύτην ἁρπάσαι καὶ τὴν ἀπληστίΑΝ ἈΝεμπλῆσαι». Τοῦ ἀποδημίαν στέλλεσθαι ἐγένετο χρῆσις ὑπὸ τοῦ Θεοδωρήτου καὶ ἐν Τόμ. Γ', σελ. 1220 «ἡνίκα δὲ τὴν ἐντεῦθεν ἀποδημίαν ἐστέλλετο» (Ἴδε Χαρίτ. Χαριτων. Ποικίλ. Φιλολογ. σελ. 520 κέ. καὶ σελ. 826).

Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1862, σελ. 37 «Impegisse Maium suspicor XII. 25 m. (pag. 45, 13 Heys.) in his ἔστι μὲν οὖν καιρὸς ἐν πᾶσι δυσπαράγγελτος, οὐ μὴν ἀδύνατος εἰς ὑπόνοιαν ἀναχθῆναι. Satis certum est Polybium dedisse εἰς

ὑπόνοιαν ἀχθῆναι, non ἀναχθῆναι, atque illud ipsum in Palimpsesto extare veri non est dissimile. Caeterum sive Maius erravit sive librarius deletis duabus literulis male repetitis ἀχθῆναι emendandum est» καὶ σελ. 423 «Similiter expunge ἂν (Themist.) p. 275 B. εἰ δὲ σὺ μὲν ἐφέλκοιο, τὸν δὲ [ἂν] ἀνάγκη τις ἀντισπῴη» καὶ 1874, σελ. 248 «Sic *de Rep.* pag. 492 c. τὸν νέον τίνα οἴει καρδίαν ἴσχειν ἢ ποίαν [ἂν] αὐτῷ παιδείαν ἰδιωτικὴν ἀνθέξειν; male repetitum ἂν expunges, et ubicumque eadem labes in libris comparet facili negotio malum sanabis» καὶ 1876, σελ. 191 (Strab.) Pag. 480. τοῖς ῥυθμοῖς — οὓς ΘάλητΑ ʼΑΝευρεῖν, ᾧ καὶ τοὺς παιᾶνας καὶ τὰς ἄλλας τὰς ἐπιχωρίους ᾠδὰς ἀνατιθέασιν. Certa est Meursii correctio ΘαλήτΑΝ εὑρεῖν. Quamquam enim nomen, ut videtur, διφορεῖται, et idem ab aliis Θάλης, ab aliis Θαλήτας (Θαλητᾶς) appellatur, tamen quia h. l. ἀνευρίσκειν vitiosum est, quia de rerum inventoribus εὑρίσκειν omnes constanter dicebant, intelligimus —AN ex praecedente nomine adhaesisse» καὶ 1877, σελ. 88 «(Dion Chrys. Orat.) Τόμ. II, pag 20. ποῖος ἦχος ὑμῖν ἂν ʼΑΝενεχθῆναι ἐδόκει; male repetita syllaba est et expuncta praepositione ἐνεχθῆναι legendum, ut in vicinia: φέρε καὶ ὑμᾶς εἴ τις ἐκ τοῦ ΦΕρομένου ἤχου πόρρωθεν εἰκάζοι ΟΙους ἂν ἀνθρώπους ὑπολάβοι εἶναι; ubi Ποίους pro οἵους reponi oportere manifestum est» καὶ 1878, σελ. 16 «Plut. Mor. pag. 401. *f*. ʼΟπούντιοι συναγαγόντες ὅσον ἀργύριον ὑδρίαν ʼΑΝέπεμψαν ἐνθάδε τῷ θεῷ. Supple ὅσον (πλεῖστον) ἀργύριον et expuncta praepositione ὑδρίαν ῎Επεμψαν, ut in vicinia θέρη χρυσᾶ δεῦρο πέμψαντες, et sic constanter omnes» καὶ 1879, σελ. 433 «Schol. in Odyss. I. 35. οὐκ ἂν ἑλοίμην πᾶσαν εὐδαιμονίαν ʼΑΝέχειν, imo vero ἔχειν» καὶ 1882, σελ. 220 «(Appian.) Lib III. 51. 17. ὠργίζοντο (*Antonio*) πρώτῳ μετὰ τὴν ἀμνηστίαν ʼΑΝΑκινήσαντι τὰ κατ' αὐτούς. Summa constantia eo sensu verbum simplex usurpabant ἀμνηστίΑΝ κινήσαντι. Odiose dicitur aliquis κινεῖν τι, qui manum admovet aut convellit ea quae inviolata et intacta servari oportebat, ut II. 41.41. *Caesar* τῶν ἀψαύστων ἐκίνει χρημάτων» καὶ σελ. 229 «Lib. V. 80.74. τὰς σπονδὰς ὁ Πομπήϊος ληστεύων

τὴν θάλασσΑΝ 'ΑΝΑλύσειεν. Quis umquam audivit τὰς σπονδὰς ἀναλύειν? Quid tritius quam τὰς σπονδὰς λύειν, λελύσθαι τὰς σπονδάς? Facile apparet unde molesta praepositio adhaeserit» καὶ 1884, σελ. 165 «(Herod.) VI. 94: ἐντειλάμενος — ἐξανδραποδίσαντας 'Αθήνας καὶ 'ΕρέτριΑΝ 'ΑΝάγειν ἑωυτῷ ἐς ὄψιν τὰ ἀνδράποδα. Tolle syllabam male repetitam et lege: — 'Ερέτριαν ἄγειν ἑωυτῷ ἐς ὄψιν». Πρβ. καὶ 1873, σελ. 139 «In cap. 34 primum de Sintenisii sententia scribendum ἠγριώθησαν πρὸς τὸν Περικλέα καθάπερ πρὸς ἰατρὸν καὶ πατέρα τῇ νόσῳ παραφρονήσαντες καὶ ἀδικεῖν ἐπεχείρησαν, pro vulgata Περικλέα [καὶ] καθάπερ ἰατρὸν — παραφρονήσαντες ἀδικεῖν ἐπεχείρησαν, deinde in ἐπεχείρησαν 'ΑΝΑπεισθέντες praepositio ΑΝΑ ex praecedenti ΑΝ vitio nata expungenda est. Πεισθῆναι enim et 'ΑΝΑπεισθῆναι ita differunt, ut πεισθῆναι sit *credere* et ἀναπεισθῆναι ad agendum *impelli* et *adduci*». Ἴδε καὶ 1878, σελ. 157.

Παρὰ τῷ 'Αρποκρατίωνι λ. Πολύγνωτος ἔχουσι τἀντίγραφα «ἐπεὶ τὴν Ποικίλην στοΑΝ 'ΑΝέγραψε προῖκα». 'Αποκατέστησε δὲ τὴν ὀρθὴν γραφὴν «ἐπεὶ τὴν Ποικίλην στοὰν ἔγραψε προῖκα» ὁ Βαλκενάριος ἐν τῇ ἐκδόσει τῶν 'Αδωνιαζουσῶν τοῦ Θεοκρίτου σελ. 374, Α'.

'Ο Βυττεμβάχιος γράφει ἐν τῇ Κριτικῇ Βιβλιοθήκῃ Τόμ. Γ', α', σελ. 80 «Longus I, p. 9. Ed. Villois. ἀνθερίκους ἀνελομένη ποθὲν ἐξελθοῦσα ἀκριδοθήραν ἀνέπλεκε· corrigitur ά ά. ἠῶθεν ἀκριδοθήραν ἔπλεκε». Φέρεται δὲ καὶ γραφὴ ἔπλεκε. Ὑπὸ τοῦ 'Ιρσχιγίου εἶνε ἐκδεδομένον παρὰ τῷ Λόγγῳ ('Ερωτικ. Συγγραφ Τόμ. Α', σελ. 134, 6) «ἡ μὲν ἀνθέρικας ἀνελομένη ποθὲν ἐξ ἕλους ἀκριδοθήραν ἔπλεκε». Ἡ γραφὴ αὕτη ἔτυχεν ἀποδοχῆς καὶ ὑπὸ τοῦ 'Ερχήρου 'Ερωτ. Συγγρ. Τόμ. Α', σελ. 246, 11, πλὴν ὅτι προεκρίθη ὑπ' αὐτοῦ ἡ ἐκφορὰ ἀνθερίκους. 'Ο Σειλῆρος ἐξέδωκε παρὰ τῷ Λόγγῳ σελ. 8 «ἡ μὲν ἀνθερίκους ἀνελομένη ποθὲν ἐξελθοῦσα ἀκριδοθήκην ἔπλεκε» (Πρβ. σελ. 176).

Μνημονεύομεν καὶ τὰ ὑπὸ τοῦ Κοραῆ παρατετηρημένα ἐν τῇ ἐκδόσει τοῦ 'Ισοκράτους Τόμ. Β', σελ. 191 «Οὐδεὶς ἂν εἰπεῖν: 'Ε τῷ ἐμῷ φέρεται κακῶς, Οὐδεὶς ἂν ἀντειπεῖν. Σημειούσθω δὲ τοῦτι διὰ τὰ ἐν τοῖς πρόσθεν (σελ. 186), εἰρημένα μοι· καὶ γὰρ οἱ ἀντι-

γραφεῖς, ὁτὲ μὲν παραλείπουσι τὸν δυνητικὸν, πλανώμενοι ὑφ' ἑπομένης προθέσεως τῆς, Ἀνὰ, ἢ τῆς, Ἀντὶ, ὁτὲ δὲ τούτων ἑκατέραν κακῶς προστιθέασι, διὰ προηγησάμενον δυνητικὸν, ἢ κατάληξιν πληθυντικοῦ τρίτου προσώπου ῥήματος τῶν ἀορίστων, ἢ τῶν ἑνικῶν αἰτιατικῶν τῶν εἰς α, ἢ εἰς ας ὀνομάτων».

Ἄξια παραθέσεως εἶνε καὶ ἃ ἔγραψεν ὁ ἀοίδιμος ἀνὴρ ἐν ταῖς Ἐπιστολαῖς Τόμ. Β', σελ. 258 «εἰς τὸ τέλος τοῦ περὶ Ὕδρας αὐτοῦ τούτου κεφαλαίου, λέγει ὁ Παλαίφατος, καὶ τὴν Ὕδραν ἀναιρεῖ, Γράφε Καὶ τὴν Ὕδραν αἱρεῖ (ἐξ ΗΔ). Τοῦτο λέγω ὄχι δι' αὐτὸν πλέον· c'est trop fin pour sa tête, ἀλλὰ διὰ νὰ διορθώσῃς σὺ τὸν Παλαίφατόν σου. Κατὰ τὸν μῦθον, εἶναι καλὸν τὸ Ἀναιρεῖ (tuer)· ἀλλὰ κατὰ τὴν ἐξήγησιν, ἢ παρεξήγησιν, τοῦ Παλαιφάτου, ἡ Ὕδρα εἶναι πολίχνιον. Ὅθεν εἶναι βέβαιον ὅτι ἔγραψε τὴν Ὕδραν αἱρεῖ (il prit le bourg d'Hydra). Ἡ Ἀνὰ πρόθεσις ἐγεννήθη ἀπὸ ἀντιγραφέα (ὅμοιον εἰς τὴν σοφίαν μὲ τὸν Παπαδοῦκαν) ὅστις ἐδίπλωσε τὴν τελευταίαν συλλαβὴν τοῦ Ὕδραν». Οὐκ ἀγνοητέον δ' ὅτι φέρεται παρὰ τῷ Παλαιφάτῳ καὶ γραφὴ «τὴν Ὕδραν καθαιρεῖ», ἥτις πιθανώτατα εἶνε ἡ γνησία. Ὀνομάζει δ' ὁ Κοραῆς Παπαδοῦκαν τὸν Νεόφυτον Δούκαν.

ΚΕΦ. ΙΘ'.

Τὴν αἰτίΑΝ 'ΑΝετίθεσαν - τὴν αἰτίαν ἐτίθεσαν, 'ΙταλίΑΝ 'ΑΝοικιζομένης - Ἰταλίαν οἰκιζομένης, κτλ.

Ὡς ἀνεγνώσθη πλημμελῶς μισητίΑΝ 'ΑΝεμίσγετο ἀντὶ τοῦ μισητίαν ἐμίσγετο καὶ ἀποδημίΑΝ 'ΑΝεστείλατο ἀντὶ τοῦ ἀποδημίαν ἐστείλατο, κτλ., οὕτω καὶ τοὐναντίον τὴν αἰτίαν ἐτίθεσαν ἀντὶ τοῦ τὴν αἰτίΑΝ 'ΑΝετίθεσαν καὶ Ἰταλίαν οἰκιζομένης ἀντὶ τοῦ ἸταλίΑΝ 'ΑΝοικιζομένης, κτλ.

Παρὰ Σωκράτει τῷ Σχολαστικῷ Ἐκκλησ. Ἱστορ. σελ. 706 Οὔσσ. ἀπαντᾷ «μάλιστα δὲ Θεοφίλῳ τῆς σκευωρίας τὴν αἰτίαν ἐτίθεσαν». Οὐδεμία ἀμφιβολία ὑπάρχει ὅτι ἐγράφη ὑπὸ τοῦ Σωκράτους «τῆς σκευωρίας τὴν αἰτίΑΝ 'ΑΝετίθεσαν». Μαρτύρια τοῦ τὴν

αἰτίαν τινὶ ἀνατιθέναι ἢ τὰς αἰτίας τινὶ ἀνατιθέναι βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', 6', σελ. 586.

Ἐν τῷ Περικλεῖ τοῦ Πλουτάρχου ΙΑ', 5 κεῖται «χιλίους μὲν ἔστειλεν εἰς Χερρόνησον κληρούχους — — ἄλλους δ' εἰς Ἰταλίαν οἰκιζομένης Συβάρεως, ἣν Θουρίους προσηγόρευσαν». Γράφει δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 134 «Duabus literulis repetilis scribendum ἈΝοικιζομένης. Deleta Sybaris a Pericle *instaurata est*. Praeterea repone Συβάριος pro Συβάρεως;». Πρβ. 1878, σελ. 155. Ἂν δ' εἶναι ἀναγκαῖον νὰ μεταβληθῇ τὸ Συβάρεως εἰς τὸ Συβάριος θὰ ἐξετασθῇ ἐν ἑτέρῳ τόπῳ.

